BnF Gallica

Hebrews is on pg. 445

Coislin 18

Source gallica.bnf.fr / Bibliothèque nationale de France. Département des Manuscrits.
Coislin 18

{BnF Gallica

EUTHALIUS. Auteur du texte. Coislin 18. 1001-1100.

1/ Les contenus accessibles sur le site Gallica sont pour la plupart des reproductions numériques d'oeuvres tombées dans le domaine public provenant des collections de la BnF. Leur réutilisation s'inscrit dans le cadre de la loi n°78-753 du 17 juillet 1978 :
- La réutilisation non commerciale de ces contenus ou dans le cadre d'une publication académique ou scientifique est libre et gratuite dans le respect de la législation en vigueur et notamment du maintien de la mention de source des contenus telle que précisée ci-après : « Source gallica.bnf.fr / Bibliothèque nationale de France » ou « Source gallica.bnf.fr / BnF ».
- La réutilisation commerciale de ces contenus est payante et fait l'objet d'une licence. Est entendue par réutilisation commerciale la revente de contenus sous forme de produits élaborés ou de fourniture de service ou toute autre réutilisation des contenus générant directement des revenus : publication vendue (à l'exception des ouvrages académiques ou scientifiques), une exposition, une production audiovisuelle, un service ou un produit payant, un support à vocation promotionnelle etc.

CLIQUER ICI POUR ACCÉDER AUX TARIFS ET À LA LICENCE

2/ Les contenus de Gallica sont la propriété de la BnF au sens de l'article L.2112-1 du code général de la propriété des personnes publiques.

3/ Quelques contenus sont soumis à un régime de réutilisation particulier. Il s'agit :

- des reproductions de documents protégés par un droit d'auteur appartenant à un tiers. Ces documents ne peuvent être réutilisés, sauf dans le cadre de la copie privée, sans l'autorisation préalable du titulaire des droits.
- des reproductions de documents conservés dans les bibliothèques ou autres institutions partenaires. Ceux-ci sont signalés par la mention Source gallica.BnF.fr / Bibliothèque municipale de ... (ou autre partenaire). L'utilisateur est invité à s'informer auprès de ces bibliothèques de leurs conditions de réutilisation.

4/ Gallica constitue une base de données, dont la BnF est le producteur, protégée au sens des articles L341-1 et suivants du code de la propriété intellectuelle.

5/ Les présentes conditions d'utilisation des contenus de Gallica sont régies par la loi française. En cas de réutilisation prévue dans un autre pays, il appartient à chaque utilisateur de vérifier la conformité de son projet avec le droit de ce pays.

6/ L'utilisateur s'engage à respecter les présentes conditions d'utilisation ainsi que la législation en vigueur, notamment en matière de propriété intellectuelle. En cas de non respect de ces dispositions, il est notamment passible d'une amende prévue par la loi du 17 juillet 1978.

7/ Pour obtenir un document de Gallica en haute définition, contacter **utilisation.commerciale@bnf.fr**.

COISLIN
18

كتاب اعمال الرسل مختصر البلك
الي ارميا النبي

Vne grande partie de la Bible Grecque commençant par le liure de Iudith dans les bons exemplaires
accoustumez Et sur la fin les Epistres des Saint Paul Escrit CCCXIX prisé.

Source gallica.bnf.fr / Bibliothèque nationale de France. Département des Manuscrits. Coislin 18

18. Bibliorum pars : Judith, II, 14. (1); — Macchabæorum libri IV. [Josephus] (8); — Esaias (42); — Jeremias (61); — Baruch (80); — Threni et epistola Jeremiæ (82 v°); — Ezechiel (85); — Daniel (105 v°); — XII. Prophetæ minores (114); — Job (129 v°); — Proverbia (138); — Cantica canticorum (146 v°); — Ecclesiastes (148); — Sapientia Salomonis (151); — Sapientia Siracidæ (156); — Prologus in Epistolas catholicas (170): — Lucæ evangelistæ Actus apostolorum (174); — Epistolæ catholicæ (189); — Pauli epistolæ (195); — Joannis Apocalypsis (223).

XI s. Parch. 229 fol. G.

Coisl. 118.

Βοιβλίων ἁγίων παλαιᾶς καὶ νέας διαθήκης τῶν ἱερῶν ἀποστόλων

Sanctæ Bibliæ

Codex membr. XI. sæculi num.

Incipit a Libro judithi qui totus fere delectus est. fol. 1.

Machabæorum primus ——— 8.

Machabæorum secundus ——— 21.

Machabaïcorum vel Ptolemaïcorum ——— 31.

Josephi περὶ αὐτοκράτορος λογισμὸς ——— 36.

Hesdræ ——— 42.

Jeremiæ ——— 61. Baruch. 80. verso.

Ezechiel ——— 85. Lamentat. 92. verso. Epistola Jeremiæ 84.

Daniel ——— 105. verso.

XII. Prophetæ ——— 114.

Job. ——— 129. verso.

Libri Salomonis tres Parabola 138. Canticum 146. verso.
Ecclesiastes 148 — Sapientia. 151

Sirach ——— 156.

~~Epistola Jacobi~~

Prologus in Epistolas Catholicas, quem omnium Epistolarum Summaria sequuntur ——— 171.

Actus Apostolorum ——— 174

Epistola Jacobi 189. 1ª Petri 190. 2ª Petri 191.

1ª joannis 192. verso 2ª joan. 194. 3ª eodem folio verso.

Judæ, ibidem. ad Romanos 195. 1ª ad Corinthios 200.

2ª Corinth. 205. ad Galatas 207 verso. ad Ephesios 209. verso

Ad. Philippenses 211. ad Colossenses 213. ad Timoth. 218.

ad Titum 219. ad Philemonem ibid. verso ad Hebræos 220.

Apocalypsis 223.

Coll. 18.

(L)

καὶ κρίσιν χήρας οὐ προσέχοντες. διὰ τοῦτο
τάδε λέγει κύριος ὁ δεσπότης σαβαώθ· οὐαὶ οἱ ἰσ-
χύοντες Ἰσραήλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν
τοῖς ὑπεναντίοις. καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν
μου ποιήσω. καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ
σὲ, καὶ πυρώσω σε εἰς καθαρόν. τοὺς δὲ ἀ-
πειθοῦντας ἀπολέσω. καὶ ἀφελῶ πάν-
τας ἀνόμους ἀπὸ σοῦ. καὶ πάντας ὑπε-
ρηφάνους ταπεινώσω. καὶ ἐπιστήσω τοὺς
κριτάς σου ὡς τὸ πρότερον. καὶ τοὺς συμ-
βούλους σου ὡς τὸ ἀπ' ἀρχῆς. καὶ μετὰ ταῦ-
τα κληθήσῃ πόλις δικαιοσύνης. μητρόπο-
λις πιστὴ Σιών. μετὰ γὰρ κρίματος σω-
θήσεται ἡ αἰχμαλωσία αὐτῆς καὶ μετὰ ἐλεη-
μοσύνης. καὶ συντριβήσονται οἱ ἄνομοι
καὶ οἱ ἁμαρτωλοὶ ἅμα. καὶ οἱ ἐγκαταλείπον-
τες τὸν κύριον συντελεσθήσονται. διότι
αἰσχυνθήσονται ἐπὶ τοῖς εἰδώλοις αὐτῶν
ἃ αὐτοὶ ἐβούλοντο. καὶ ἐπαισχυνθήσον-
ται ἐπὶ τοῖς γλυπτοῖς αὐτῶν ἃ αὐτοὶ ἐ-
ποίησαν. καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς κή-
ποις αὐτῶν ἃ ἐπεθύμησαν. ἔσονται γὰρ
ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ
φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ
ἔχων. καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη
στιππύου. καὶ αἱ ἐργασίαι αὐτῶν ὡς σπιν-
θῆρες. καὶ κατακαυθήσονται οἱ ἄνομοι
καὶ οἱ ἁμαρτωλοὶ ἅμα. καὶ οὐκ ἔσται ὁ σβέ-
σων :—

※ ὁ λόγος ὁ γενόμενος πρὸς Ἠσαΐαν υἱὸν
Ἀμὼς περὶ τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ :-

Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμ-
φανὲς τὸ ὄρος κυρίου. καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄ-
κρων τῶν ὀρέων. καὶ ὑψωθήσεται ὑπερά-
νω τῶν βουνῶν. καὶ ἥξουσιν ἐπ' αὐτὸ πάν-
τα τὰ ἔθνη. καὶ πορεύσονται λαοὶ πολλοὶ καὶ
ἐροῦσιν· δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου
καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ. καὶ ἀναγγελεῖ
ἡμῖν τὴν ὁδὸν αὐτοῦ καὶ πορευσόμεθα ἐν αὐ-
τῇ. ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος
κυρίου ἐξ Ἱερουσαλήμ. καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν
καὶ ἐλέγξει λαὸν πολύν. καὶ συγκόψουσι τὰς
μαχαίρας αὐτῶν εἰς ἄροτρα. καὶ τὰς ζι-
βύνας αὐτῶν εἰς δρέπανα. καὶ οὐ λήψεται
ἔθνος ἐπ' ἔθνος μάχαιραν. καὶ οὐ μὴ μά-
θωσιν ἔτι πολεμεῖν. καὶ νῦν σὺ ὁ οἶκος
τοῦ Ἰακώβ, δεῦτε καὶ πορευθῶμεν τῷ φω-
τὶ κυρίου. ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον
τοῦ Ἰακώβ. ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ' ἀρ-
χῆς ἡ χώρα αὐτῶν κληδονισμῶν ὡς ἡ τῶν
ἀλλοφύλων. καὶ τέκνα πολλὰ ἀλλόφυλα
ἐγεννήθη αὐτοῖς. ἐνεπλήσθη δὲ ἡ χώρα αὐ-
τῶν ἀργυρίου καὶ χρυσίου. καὶ οὐκ ἦν ἀριθ-
μὸς τῶν θησαυρῶν αὐτῶν. καὶ ἐνεπλήσθη

ἡ γῆ αὐτῶν ἵππων. καὶ οὐκ ἦν ἀριθμὸς τῶν
ἁρμάτων αὐτῶν. καὶ ἐνεπλήσθη ἡ γῆ βδε-
λυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν.
καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι
αὐτῶν. καὶ ἔκυψεν ἄνθρωπος καὶ ἐταπεινώθη ἀνήρ.
καὶ οὐ μὴ ἀνήσω αὐτούς. καὶ νῦν εἰσέλθετε εἰς
τὰς πέτρας καὶ κρύπτεσθε εἰς τὴν γῆν. ἀπὸ προ-
σώπου τοῦ φόβου κυρίου. καὶ ἀπὸ τῆς δόξης τῆς
ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.
οἱ γὰρ ὀφθαλμοὶ κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπει-
νός. καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν
ἀνθρώπων καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ :· ἡμέρα γὰρ κυρίου σαβαὼθ ἐπὶ πάντα
ὑβριστὴν καὶ ἐπὶ πάντα ὑπερήφανον καὶ ὑπερόφθαλμον.
καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον καὶ τα-
πεινωθήσονται. καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ
Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων. καὶ ἐπὶ
πᾶν δένδρον βαλάνου Βασάν. καὶ ἐπὶ πᾶν
ὄρος ὑψηλόν. καὶ ἐπὶ πάντα βουνὸν ὑψηλόν.
καὶ ἐπὶ πάντα πύργον ὑψηλόν. καὶ ἐπὶ πᾶν
πλοῖον θαλάσσης. καὶ ἐπὶ πᾶσαν θέαν κάλ-
λους πλοίων. καὶ ταπεινωθήσεται πᾶς ἄν-
θρωπος. καὶ πεσεῖται τὸ ὕψος τῶν ἀνθρώπων.
καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκεί-
νῃ. καὶ τὰ χειροποίητα πάντα κατακρύ-
ψουσιν εἰσενέγκαντες εἰς τὰ σπήλαια καὶ εἰς
τὰς σχισμὰς τῶν πετρῶν. καὶ εἰς τὰς τρώ-
γλας τῆς γῆς. ἀπὸ προσώπου τοῦ φόβου
κυρίου. καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ ὅταν
ἀναστῇ θραῦσαι τὴν γῆν. τῇ ἡμέρᾳ ἐκεί-
νῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀρ-
γυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν προσκυνεῖν
τοῖς ματαίοις καὶ ταῖς νυκτερίσι. τοῦ εἰ-
σελθεῖν εἰς τὰς τρώγλας τῆς στερεᾶς πέ-
τρας. καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν ἀ-
πὸ προσώπου τοῦ φόβου κυρίου. καὶ ἀπὸ τῆς
δόξης τῆς ἰσχύος αὐτοῦ. ὅταν ἀναστῇ θραῦσαι
τὴν γῆν. ἰδοὺ ὁ δεσπότης κύριος σαβαὼθ ἀφελεῖ
ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα
καὶ ἰσχύουσαν. ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος.
γίγαντα καὶ ἰσχύοντα. καὶ ἄνθρωπον πολεμιστὴν
καὶ δικαστήν. καὶ προφήτην καὶ στοχαστήν. καὶ πρε-
σβύτερον καὶ πεντηκόνταρχον καὶ θαυμαστὸν
σύμβουλον. καὶ σοφὸν ἀρχιτέκτονα. καὶ συνε-
τὸν ἀκροατήν. καὶ ἐπιστήσω νεανίσκους ἄρχον-
τας αὐτῶν. καὶ ἐμπαῖκται κυριεύσουσιν
αὐτῶν. καὶ συμπεσεῖται ὁ λαός. ἄνθρωπος πρὸς
ἄνθρωπον. καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ.
Προσκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην.
καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντιμον. ὅτι ἐπιλή-
ψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ ἢ τοῦ οἰκείου τοῦ πα-
τρὸς αὐτοῦ, λέγων· ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡ-
μῶν γενοῦ. καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω. καὶ ἀ-
ποκριθεὶς ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· οὐκ ἔσομαι

ἰάσῃ· καὶ ἐπιστραφήσονται πρὸς κ(ύριο)ν καὶ
εἰσακούσεται αὐτῶν καὶ ἰάσεται αὐτούς. τῇ ἡμέ-
ρᾳ ἐκείνῃ ἔσται ὁδὸς αἰγύπτου πρὸς ἀσσυρί-
ους· καὶ εἰσελεύσονται ἀσσύριοι εἰς αἴγυπτ(ον)·
καὶ αἰγύπτιοι πορεύσονται πρὸς ἀσσυρί(ους)·
καὶ δουλεύσουσιν οἱ αἰγύπτιοι τοῖς ἀσσυρίοις.
τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ἰσραὴλ τρίτος ἐν τοῖς
ἀσσυρίοις καὶ ἐν τοῖς αἰγυπτίοις· εὐλογημένος
ἐν τῇ γῇ ἣν εὐλόγησε κ(ύριο)ς σαβαώθ· λέγων·
εὐλογημένος ὁ λαός μου ὁ ἐν αἰγύπτῳ καὶ ἐν
ἀσσυρίοις· καὶ ἡ κληρονομία μου ἰσραήλ :-
※ τοῦ ἔτους οὗ εἰσῆλθε ταναθὰν εἰς ἄζωτ(ον)
ἡνίκα ἀπεστάλη ὑπὸ ἀρνὰ βασιλέως
ἀσσυρίων καὶ ἐπολέμησε τὴν ἄζωτον καὶ κα-
τελάβετο αὐτήν· τότε ἐλάλησε κ(ύριο)ς πρὸς
ἡσαΐαν λέγων :

Πορεύου καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς
ὀσφύος σου· καὶ τὰ σανδάλιά σου ὑπόλυ-
σαι ἀπὸ τῶν ποδῶν σου· καὶ ἐποίησεν οὕ-
τως πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος·
καὶ εἶπε κ(ύριο)ς· ὃν τρόπον πεπόρευται ὁ
παῖς μου ἡσαΐας γυμνὸς καὶ ἀνυπόδετος· τρί-
α ἔτη ἔσται σημεῖα καὶ τέρατα τοῖς αἰγυπτίοις
καὶ αἰθίοψιν· ὅτι οὕτως ἄξει βασιλεὺς ἀσσυ-
ρίων τὴν αἰχμαλωσίαν αἰγύπτου καὶ αἰ-
θιόπων· νεανίσκους καὶ πρεσβύτας γυ-
μνοὺς καὶ ἀνυποδέτους· ἀνακεκαλυμμέ-
νους τὴν αἰσχύνην αἰγύπτου· καὶ αἰσχυνθή-
σονται ἡττηθέντες οἱ αἰγύπτιοι ἐπὶ τοῖς
αἰθίοψιν ἐφ' οἷς ἦσαν πεποιθότες οἱ αἰ-
γύπτιοι· ἦσαν γὰρ αὐτοῖς δόξα· καὶ ἐροῦσιν
οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ· ἰδοὺ
ἡμεῖς πεποιθότες ἦμεν τοῦ φυγεῖν εἰς
αὐτοὺς εἰς βοήθειαν· οἳ οὐκ ἠδύναντο σω-
θῆναι ἀπὸ βασιλέως ἀσσυρίων· καὶ πῶς
ἡμεῖς σωθησόμεθα :-

τὸ ὅραμα τῆς ἐρήμου :

Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι ἐξ ἐρή-
μου ἐρχομένη ἐκ γῆς· φοβερὸν τὸ ὅραμα καὶ
σκληρὸν ἀνηγγέλη μοι· ὁ ἀθετῶν ἀθετεῖ·
ὁ ἀνομῶν ἀνομεῖ· ἐπ' ἐμοὶ οἱ αἰλαμῖται
καὶ οἱ πρέσβεις τῶν περσῶν ἐπ' ἐμὲ ἔρχ(ονται)·
νῦν στενάξω καὶ παρακαλέσω ἐμαυτόν·
διὰ τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως·
καὶ ὠδῖνες ἔλαβόν με ὡς τὴν τίκτουσαν· ἠδί-
κησα τοῦ μὴ ἀκοῦσαι· ἐσπούδασα τοῦ μὴ
βλέπειν· ἡ καρδία μου πλανᾶται καὶ ἡ ἀ-
νομία με βαπτίζει· ἡ ψυχή μου ἐφέστηκεν εἰς φό-
βον· ἑτοιμάσατε τὴν τράπεζαν· πίετε
φάγετε· ἀναστάντες ἑτοιμάσατε θυρε-
ούς· ὅτι οὕτως εἶπέ μοι κ(ύριο)ς· πορευθεὶς
σεαυτῷ στῆσον σκοπόν· καὶ ὃ ἐὰν ἴδῃς
ἀνάγγειλον· καὶ εἶδον ἀναβάτας ἱππεῖς
δύο· ἀναβάτην ὄνου καὶ ἀναβάτην καμήλου·
καὶ εἶπον· ἀκροατὴς ἀκρόασαι πολλὴν ἀκρόασιν· καὶ
κάλεσον οὐρίαν εἰς τὴν σκοπιὰν κ(υρίο)υ· καὶ εἶπ(εν)·
ἔστην διὰ παντὸς ἡμέρας· καὶ ἐπὶ τῆς παρεμβο-
λῆς ἔστην ὅλην τὴν νύκτα· καὶ ἰδοὺ αὐτὸς
ἔρχεται ἀναβάτης συνωρίδος· καὶ ἀποκριθεὶς
εἶπε· πέπτωκε βαβυλών· καὶ πάντα τὰ ἀγάλ-
ματα αὐτῆς καὶ τὰ χειροποίητα αὐ-
τῆς συνετρίβη εἰς τὴν γῆν· ἀκούσατε οἱ κα-
ταλελειμμένοι καὶ οἱ ὀδυνώμενοι· ἀκούσατε ἃ
ἤκουσα παρὰ κ(υρίο)υ σαβαώθ· ὁ θ(εὸ)ς τοῦ ἰσραὴλ ἀνή-
γγειλεν ἡμῖν :-

τὸ ὅραμα τῆς ἰουδαίας :-

Πρὸς ἐμὲ καλεῖ παρὰ τοῦ σηείρ· φυλάσσετε ἐ-
πάλξεις· φυλάσσω τὸ πρωῒ καὶ τὴν νύκτα·
ἐὰν ζητῇς ζήτει καὶ παρ' ἐμοὶ οἴκει· ἐν τῷ
δρυμῷ ἑσπέρας κοιμηθήσῃ ἐν τῇ ὁδῷ δεδάν·
εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε οἱ ἐν-
οικοῦντες ἐν χώρᾳ θαιμάν· ἄρτοις συναν-
τᾶτε τοῖς φεύγουσι διὰ τὸ πλῆθος τῶν
φευγόντων· καὶ διὰ τὸ πλῆθος τῶν πλανωμέ-
νων· καὶ διὰ τὸ πλῆθος τῆς μαχαίρας· καὶ διὰ
τὸ πλῆθος τῶν τόξων τῶν διατεταμέ-
νων· καὶ διὰ τὸ πλῆθος τῶν πεπτωκότων
ἐν τῷ πολέμῳ· ὅτι οὕτως εἶπέ μοι κ(ύριο)ς· ἔτι ἐ-
νιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ ἐκλείψει ἡ δόξα
κηδάρ· καὶ τὸ κατάλοιπον τῶν τόξων
τῶν ἰσχυρῶν υἱῶν κηδὰρ ἔσται ὀλίγον· διότι κ(ύριο)ς
ἐλάλησεν ὁ θ(εὸ)ς ἰσραήλ :-

τὸ ῥῆμα τῆς φάραγγος σιών :-

Τί ἐγένετό σοι νῦν· ὅτι ἀνέβητε πάντες εἰς δώ-
ματα ματαίως· ἐνεπλήσθη ἡ πόλις κραζόντων· οἱ τραυ-
ματίαι σου· οὐ τραυματίαι μαχαίρας· οὐδὲ
οἱ νεκροί σου νεκροὶ πολέμου· πάντες οἱ ἄρ-
χοντές σου πεφεύγασι· καὶ οἱ ἁλόντες σκληρῶς
δεδεμένοι εἰσί· καὶ οἱ ἰσχύοντες ἐν σοὶ πόρ-
ρω πεφεύγασι· διὰ τοῦτο εἶπα· ἄφετέ με πι-
κρῶς κλαύσομαι· μὴ κατισχύσητε παρακα-
λεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς
τοῦ γένους μου· ὅτι ἡμέρα ταραχῆς καὶ ἀπω-
λείας καὶ καταπατήματος· καὶ πλάνησις
παρὰ κ(υρίο)υ σαβαὼθ ἐν φάραγγι σιών· πλανῶν-
ται ἀπὸ μικροῦ ἕως μεγάλου· πλανῶνται
ἐπὶ τὰ ὄρη· οἱ δὲ ἐλαμῖται ἔλαβον φαρέτρας·
ἀναβάται ἄνθρωποι ἐφ' ἵπποις· καὶ συναγωγὴ πα-
ρατάξεως· καὶ ἔσονται αἱ ἐκλεκταὶ φάρα-
γγές σου πλησθήσονται ἁρμάτων· οἱ δὲ ἱ-
ππεῖς ἐμφράξουσι τὰς πύλας σου· καὶ ἀνα-
καλύψουσι τὰς πύλας ἰούδα· καὶ ἐμβλέψον-
ται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους
τῆς πόλεως· καὶ ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν
ἄκρας τῶν οἴκων δαυίδ· καὶ εἴδοσαν ὅτι πλείους
εἰσί· καὶ ὅτι ἀπέστρεψαν τὸ ὕδωρ τῆς ἀρχαί(ας)

καὶ οὐ πρόσωπον· καὶ ἐδίδαξα αὐτοὺς ὄρθρου καὶ οὐκ ἤκουσαν ἐκλαβεῖν παιδείαν· καὶ ἔθηκαν τὰ μιάσματα αὐτῶν ἐν τῷ οἴκῳ οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ ἐν ἀκαθαρσίαις αὐτῶν. καὶ ᾠκοδόμησαν τοὺς βωμοὺς τῇ Βάαλ τοὺς ἐν φάραγγι υἱοῦ Ἐνώμ· τοῦ ἀναφέρειν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τῷ Μολὸχ βασιλεῖ· ἃ οὐ συνέταξα αὐτοῖς καὶ οὐκ ἀνέβη ἐπὶ τὴν καρδίαν μου τοῦ ποιῆσαι τὸ βδέλυγμα τοῦτο πρὸς τὸ ἐξαμαρτῆσαι τὸν Ἰούδαν. καὶ νῦν οὕτως εἶπεν κύριος ὁ θεὸς Ἰσραήλ· ἐπὶ τὴν πόλιν ἣν σὺ λέγεις· παραδοθήσεται εἰς χεῖρας βασιλέως Βαβυλῶνος ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ ἐν ἀποστολῇ. ἰδοὺ ἐγὼ συνάγω αὐτοὺς ἐκ πάσης τῆς γῆς οὗ διέσπειρα αὐτοὺς ἐκεῖ ἐν θυμῷ μου καὶ ἐν παροξυσμῷ μου μεγάλῳ· καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὸν τόπον τοῦτον καὶ καθιῶ αὐτοὺς πεποιθότας. καὶ ἔσονταί μοι εἰς λαὸν καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν· καὶ δώσω αὐτοῖς ὁδὸν ἑτέραν καὶ καρδίαν ἑτέραν φοβηθῆναί με πάσας τὰς ἡμέρας· καὶ εἰς ἀγαθὸν αὐτοῖς καὶ τοῖς τέκνοις αὐτῶν μετ' αὐτούς. καὶ διαθήσομαι αὐτοῖς διαθήκην αἰώνιον ἣν οὐ μὴ ἀποστρέψω ὄπισθεν αὐτῶν· καὶ τὸν φόβον μου δώσω εἰς τὴν καρδίαν αὐτῶν πρὸς τὸ μὴ ἀποστῆναι αὐτοὺς ἀπ' ἐμοῦ. καὶ ἐπισκέψομαι αὐτοὺς τοῦ ἀγαθῶσαι αὐτοὺς καὶ φυτεύσω αὐτοὺς ἐν τῇ γῇ ταύτῃ ἐν πίστει καὶ ἐν πάσῃ καρδίᾳ καὶ ἐν πάσῃ ψυχῇ μου. ὅτι οὕτως εἶπεν κύριος· καθὰ ἐπήγαγον ἐπὶ τὸν λαὸν τοῦτον πᾶσαν τὴν κακίαν καὶ τὰ μεγάλα ταῦτα· οὕτως ἐγὼ ἐπάξω ἐπ' αὐτοὺς πάντα τὰ ἀγαθὰ ἃ ἐλάλησα ἐπ' αὐτούς. καὶ κτηθήσονται ἔτι ἀγροὶ ἐν τῇ γῇ ᾗ σὺ λέγεις ἄβατος ἔσται ἀπὸ ἀνθρώπων καὶ κτηνῶν· καὶ παρεδόθησαν εἰς χεῖρας Χαλδαίων· καὶ κτήσονται ἀγροὺς ἐν ἀργυρίῳ· καὶ γράψεις βιβλίον καὶ σφραγιεῖς· καὶ διαμαρτυρῇ μάρτυρας ἐν γῇ Βενιαμὶν καὶ κύκλῳ Ἱερουσαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα· καὶ ἐν πόλεσι τοῦ ὄρους· καὶ ἐν πόλεσι τῆς Σεφηλά· καὶ ἐν πόλεσι τῆς Ναγέβ· ὅτι ἐπιστρέψω τὰς ἀποικίας αὐτῶν:-

Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἱερεμίαν ἐκ δευτέρου καὶ αὐτὸς ἦν δεδεμένος ἐν τῇ αὐλῇ τῆς φυλακῆς: λέγων:-

Οὕτως εἶπεν κύριος ποιῶν γῆν καὶ πλάσσων αὐτὴν τοῦ ἀνορθῶσαι αὐτήν· κύριος ὄνομα αὐτῷ· κέκραξον πρός με καὶ ἀποκριθήσομαί σοι· καὶ ἀπαγγελῶ σοι μεγάλα καὶ ἰσχυρὰ ἃ οὐκ ἔγνως αὐτά· ὅτι οὕτως εἶπεν κύριος ὁ θεὸς Ἰσραὴλ περὶ οἴκων τῆς πόλεως ταύτης καὶ περὶ οἴκων βασιλέως Ἰούδα τῶν καθῃρημένων εἰς χάρακας καὶ προμαχῶνας τοῦ μάχεσθαι πρὸς τοὺς Χαλδαίους· καὶ πληρῶσαι αὐτὴν νεκρῶν ἀνθρώπων οὓς ἐπάταξα ἐν ὀργῇ μου καὶ ἐν θυμῷ μου· καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν περὶ πασῶν τῶν πονηριῶν αὐτῶν· ἰδοὺ ἐγὼ ἀνάγω αὐτῇ συνούλωσιν καὶ ἴαμα· καὶ ἰατρεύσω αὐτοὺς καὶ φανερώσω αὐτοῖς εἰρήνην καὶ πίστιν· καὶ ἐπιστρέψω τὴν ἀποικίαν Ἰούδα καὶ τὴν ἀποικίαν Ἰσραήλ· καὶ οἰκοδομήσω αὐτοὺς καθὼς τὸ πρότερον· καὶ καθαριῶ αὐτοὺς ἀπὸ πασῶν τῶν ἀδικιῶν αὐτῶν ὧν ἥμαρτόν μοι· καὶ οὐ μὴ μνησθήσομαι ἁμαρτιῶν αὐτῶν ὧν ἥμαρτόν μοι καὶ ἀπέστησαν ἀπ' ἐμοῦ. καὶ ἔσται εἰς εὐφροσύνην καὶ εἰς αἴνεσιν· καὶ εἰς μεγαλειότητα παντὶ τῷ λαῷ τῆς γῆς οἵτινες ἀκούσονται πάντα τὰ ἀγαθὰ ἃ ἐγὼ ποιῶ· καὶ φοβηθήσονται καὶ πικρανθήσονται περὶ πάντων τῶν ἀγαθῶν καὶ περὶ πάσης τῆς εἰρήνης ἧς ἐγὼ ποιῶ αὐτοῖς· οὕτως εἶπεν κύριος· ἔτι ἀκουσθήσεται ἐν τῷ τόπῳ τούτῳ ᾧ ὑμεῖς λέγετε ἔρημός ἐστιν ἀπὸ ἀνθρώπων καὶ κτηνῶν ἐν πόλεσιν Ἰούδα καὶ ἔξωθεν Ἱερουσαλὴμ ταῖς ἠρημωμέναις παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτήνη· φωνὴ εὐφροσύνης καὶ φωνὴ χαρμοσύνης· φωνὴ νυμφίου καὶ φωνὴ νύμφης· φωνὴ λεγόντων ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν δυνάμεων ὅτι χρηστὸς κύριος· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· καὶ εἰσοίσουσιν δῶρα εἰς οἶκον κυρίου· ὅτι ἐπιστρέψω πᾶσαν τὴν ἀποικίαν τῆς γῆς ἐκείνης κατὰ τὸ πρότερον· εἶπεν κύριος. οὕτως λέγει κύριος τῶν δυνάμεων· ἔτι ἔσται ἐν τῷ τόπῳ τούτῳ τῷ ἐρήμῳ· καὶ ἐν πάσαις ταῖς πόλεσιν αὐτοῦ καταλύματα ποιμένων κοιταζόντων πρόβατα· ἐν πόλεσι τῆς Σεφηλὰ καὶ ἐν πόλεσι τῆς Ναγὲβ καὶ ἐν γῇ Βενιαμὶν καὶ ἐν ταῖς κύκλῳ Ἱερουσαλὴμ καὶ ἐν πόλεσιν Ἰούδα· ἔτι παρελεύσεται πρόβατα ἐπὶ χεῖρα ἀριθμοῦντος· εἶπεν κύριος:-

Ὁ λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν παρὰ κυρίου· καὶ βασιλεὺς Βαβυλῶνος Ναβουχοδονόσορ καὶ πᾶν τὸ στρατόπεδον αὐτοῦ ἐπολέμουν ἐπὶ Ἱερουσαλὴμ καὶ ἐπὶ πάσας τὰς πόλεις Ἰούδα:-

Οὕτως εἶπεν κύριος· βάδισον πρὸς Σεδεκίαν βασιλέα Ἰούδα καὶ ἐρεῖς αὐτῷ· οὕτως εἶπεν κύριος· παραδόσει παραδοθήσεται ἡ πόλις αὐτὴ εἰς χεῖρας βασιλέως Βαβυλῶνος· καὶ συλλήψεται αὐτὴν καὶ κατακαύσει αὐτὴν ἐν πυρί· καὶ σὺ οὐ μὴ σωθῇς ἐκ χειρὸς αὐτοῦ· καὶ συλλήψει συλληφθήσῃ· καὶ εἰς χεῖρας αὐτοῦ δοθήσῃ· καὶ οἱ ὀφθαλμοί σου τοὺς ὀφθαλμοὺς αὐτοῦ ὄψονται· καὶ τὸ στόμα αὐτοῦ μετὰ τοῦ στόματός σου λαλήσει· καὶ εἰς Βαβυλῶνα εἰσελεύσῃ· ἀλλ' ἄκουσον τὸν λόγον κυρίου Σεδεκία βασιλεῦ Ἰούδα· οὕτως λέγει κύριος· ἐν εἰρήνῃ ἀποθανῇ· καὶ ὡς ἔκλαυσαν

οἱ ἄρχοντες ἡμῶν ἐν πόλεσιν ἰούδα
ἔξωθεν ἱερουσαλήμ. καὶ ἐπλήσθημεν ἄρτων
καὶ ἐγενόμεθα χρηστοί· καὶ κακὰ οὐκ εἴδο-
μεν· καὶ ὡς διελίπομεν θυμιῶντες
τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ ἠλαττονώθημεν
καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐξελίπομεν.
καὶ ὅτι ἡμεῖς θυμιῶμεν τῇ βασιλίσσῃ
τοῦ οὐρανοῦ· καὶ ἐσπείσαμεν αὐτῇ σπονδάς·
μὴ ἄνευ τῶν ἀνδρῶν ἡμῶν ἐποιήσαμεν
αὐτῇ χαυῶνας· καὶ ἐσπείσαμεν αὐτῇ σπον-
δάς; καὶ εἶπεν ἱερεμίας παντὶ τῷ λαῷ
τοῖς δυνατοῖς καὶ ταῖς γυναιξὶ καὶ παντὶ
τῷ λαῷ τοῖς ἀποκριθεῖσιν αὐτῷ λόγους
λέγων· οὐχὶ τοῦ θυμιάματος οὗ ἐθυμιάσατε
ἐν πόλεσιν ἰούδα καὶ ἔξωθεν ἱερουσα-
λὴμ ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν καὶ οἱ βασιλεῖς ὑμῶν
καὶ οἱ ἄρχοντες ὑμῶν καὶ ὁ λαὸς τῆς γῆς
ἐμνήσθη κύριος καὶ ἀνέβη ἐπὶ καρδίαν αὐτοῦ·
καὶ οὐκ ἠδύνατο κύριος ἔτι φέρειν ἀπὸ προσώ-
που πονηρίας πραγμάτων ὑμῶν· καὶ ἀπὸ
τῶν βδελυγμάτων ὑμῶν ὧν ἐποιήσατε· καὶ ἐγενή-
θη ἡ γῆ ὑμῶν εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον
καὶ εἰς ἀράν· ὡς ἡ ἡμέρα αὕτη· ἀπὸ προ-
σώπου ὧν ἐθυμιᾶτε καὶ ὧν ἡμάρτετε τῷ
κυρίῳ· καὶ οὐκ ἠκούσατε τῆς φωνῆς κυρίου· καὶ
ἐν τοῖς προστάγμασιν αὐτοῦ καὶ ἐν τοῖς μαρ-
τυρίοις αὐτοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἐ-
πορεύθητε· καὶ ἐπελάβετο ὑμῶν τὰ κακὰ
ταῦτα· καὶ εἶπεν ἱερεμίας τῷ λαῷ καὶ ταῖς
Πι γυναιξίν· ἀκούσατε τὸν λόγον κυρίου·
οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραήλ· ὑμεῖς γυναῖκες
τῷ στόματι ὑμῶν ἐλαλήσατε καὶ ταῖς χερ-
σὶν ὑμῶν ἐποιήσατε λέγουσαι· ποιοῦσαι ποιή-
σωμεν τὰς ὁμολογίας ἡμῶν ἃς ὡμολογήσαμεν
θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ σπένδειν
αὐτῇ σπονδάς· ἐμμείνασαι ἐνεμείνατε
ταῖς ὁμολογίαις ὑμῶν καὶ ποιοῦσαι ἐποιή-
σατε· διὰ τοῦτο ἀκούσατε λόγον κυρίου πᾶς
ἰούδα οἱ καθήμενοι ἐν γῇ αἰγύπτῳ·
ἰδοὺ ὤμοσα τῷ ὀνόματί μου τῷ μεγάλῳ
εἶπε κύριος· εἰ ἔσται ἔτι ὄνομά μου ἐν τῷ στό-
ματι παντὸς ἰούδα εἰπεῖν ζῇ κύριος κύριος· ἐν πά-
σῃ γῇ αἰγύπτῳ· ὅτι ἰδοὺ ἐγὼ ἐγρήγορα ἐπ' αὐ-
τοὺς τοῦ κακῶσαι αὐτοὺς καὶ οὐκ ἀγαθῶσαι·
καὶ ἐκλείψουσι πᾶς ἰουδαῖοι κατοικοῦν-
τες ἐν γῇ αἰγύπτῳ· ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ
ἕως ἂν ἐκλίπωσιν· καὶ οἱ σεσωσμένοι
ἀπὸ ῥομφαίας ἐπιστρέψουσιν εἰς γῆν ἰ-
ούδα· ὀλίγοι ἀριθμῷ· καὶ γνώσονται
οἱ κατάλοιποι ἰούδα οἱ ἐνοικοῦντες ἐν
γῇ αἰγύπτῳ· παροικῆσαι ἐκεῖ· λόγος τί-
νος ἐμμενεῖ· καὶ τοῦτο ὑμῖν τὸ σημεῖον·
ὅτι ἐγὼ ἐπισκέψομαι ἀφ' ὑμῶν εἰς κακά.

ὅτι οὕτως εἶπε κύριος ἰδοὺ ἐγὼ δίδωμι τὸν οὐαφρῆ
βασιλέα αἰγύπτου εἰς χεῖρας ἐχθροῦ αὐτοῦ
καὶ εἰς χεῖρας ζητούντων τὴν ψυχὴν αὐτοῦ· καθὰ
δέδωκα τὸν σεδεκίαν βασιλέα ἰούδα εἰς
χεῖρας ναβουχοδονόσορ βασιλέως βαβυλῶ-
νος ἐχθροῦ αὐτοῦ· καὶ ζητοῦντος τὴν ψυχὴν
αὐτοῦ: ὁ λόγος ὃν ἐλάλησεν ἱερε-
μίας ὁ προφήτης πρὸς βαρούχ υἱὸν νηρίου
ὅτε ἔγραφεν τοὺς λόγους τούτους ἐν βιβλίῳ
ἀπὸ στόματος ἱερεμίου· ἐν τῷ ἐνιαυτῷ τῷ
τετάρτῳ τοῦ ἰωακεὶμ βασιλέως ἰούδα
Οὕτως εἶπε κύριος ἐπὶ σοὶ βαρούχ· ὅτι εἶπας
οἴμοι οἴμοι· ὅτι προσέθηκε κύριος κόπον ἐπὶ τὸν πό-
νον μου· ἐκοιμήθην ἐν στεναγμοῖς· ἀνάπαυ-
σιν οὐχ εὗρον· εἰπὸν αὐτῷ· οὕτως εἶπε κύριος
ἰδοὺ οὓς ἐγὼ ᾠκοδόμησα ἐγὼ καθαιρῶ· καὶ οὓς
ἐφύτευσα ἐγὼ ἐκτίλλω· καὶ σὺ ζητεῖς σεαυτῷ
μεγάλα· μὴ ζητήσῃς· ὅτι ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐ-
πὶ πᾶσαν σάρκα λέγει κύριος· καὶ δώσω τὴν ψυχήν
σου εἰς εὕρημα· ἐν παντὶ τόπῳ οὗ ἐὰν βαδίσῃς ἐ-
κεῖ:· ὢν ἐτῶν εἰκοστοῦ ἑνὸς σεδεκίας
ἐν τῷ βασιλεύειν αὐτόν· καὶ ἕνδεκα ἔτη ἐβασίλευ-
σεν ἐν ἱλήμ· καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἀμιτααλ
θυγάτηρ ἱερεμίου ἐκ λοβενά:·
Καὶ ἐγένετο ἐν τῷ ἐνάτῳ ἔτει τῆς βασιλείας αὐ-
τοῦ ἐν μηνὶ τῷ δεκάτῳ δεκάτῃ τοῦ μηνὸς
ἦλθε ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος
καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ ἱλήμ· καὶ περιεχα-
ράκωσαν αὐτὴν καὶ περιῳκοδόμησαν αὐτὴν
τετραπέδοις λίθοις κύκλῳ· καὶ ἦλθεν ἡ πόλις
εἰς συνοχὴν ἕως ἑνδεκάτου ἔτους τῷ βασιλεῖ σεδε-
κίᾳ ἐν τῷ ἐνάτῳ τοῦ μηνός· καὶ ἐστερεώθη ὁ λιμὸς
ἐν τῇ πόλει· καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς·
καὶ διεκόπη ἡ πόλις· καὶ πάντες οἱ ἄνδρες οἱ
πολεμισταὶ ἐξῆλθον νυκτὸς κατὰ τὴν ὁδὸν τῆς
πύλης· ἀνὰ μέσον τοῦ τείχους καὶ τοῦ προτει-
χίσματος ὃ ἦν κατὰ τὸν κῆπον τοῦ βασιλέως·
καὶ οἱ χαλδαῖοι ἐπὶ τῆς πόλεως κύκλῳ· καὶ ἐπορεύ-
θησαν ὁδὸν τὴν εἰς ἀραβά· καὶ κατεδίωξεν ἡ δύνα-
μις τῶν χαλδαίων ὀπίσω τοῦ βασιλέως· καὶ κατέ-
λαβον αὐτὸν ἐν τῷ πέραν ἱεριχώ· καὶ πάντες
οἱ παῖδες αὐτοῦ διεσπάρησαν ἀπ' αὐτοῦ· καὶ συνέ-
λαβον τὸν βασιλέα καὶ ἤγαγον αὐτὸν πρὸς βα-
σιλέα βαβυλῶνος εἰς δεβλαθά· καὶ ἐλάλησεν
αὐτῷ μετὰ κρίσεως· καὶ ἔσφαξε βασιλεὺς βα-
βυλῶνος τοὺς υἱοὺς σεδεκίου κατὰ πρόσωπον
αὐτοῦ· κατ' ὀφθαλμοὺς αὐτοῦ· καὶ πάντας
τοὺς ἄρχοντας ἰούδα· ἔσφαξεν ἐν δεβλαθά·
καὶ τοὺς ὀφθαλμοὺς σεδεκίου ἐξετύφλωσε·
καὶ ἔδησεν αὐτὸν ἐν πέδαις· καὶ ἤγαγεν αὐτὸν
εἰς βαβυλῶνα· καὶ ἔδωκεν αὐτὸν εἰς οἰκί-
αν μύλωνος· ἕως ἡμέρας ἧς ἀπέθανεν· καὶ
Ἐν μηνὶ πέμπτῳ δεκάτῃ τοῦ μηνὸς ἦλθε ναβου-

Cap. 3.

Cap. 5.

Cap. 5.

ἐγώ εἰμι κύριος. καὶ ἐγένετο λόγος κυρίου πρός
με λέγων· υἱὲ ἀνθρώπου, ἐν μέσῳ τῶν ἀδικι-
ῶν αὐτῶν σὺ κατοικεῖς, οἳ ἔχουσιν ὀφθαλ-
μοὺς τοῦ βλέπειν καὶ οὐ βλέπουσι· καὶ
ὦτα ἔχουσι τοῦ ἀκούειν καὶ οὐκ ἀκούουσι·
διότι οἶκος παραπικραίνων ἐστί. καὶ
σύ, υἱὲ ἀνθρώπου, ποίησον σεαυτῷ σκεύη αἰχ-
μαλωσίας· καὶ αἰχμαλωτεύθητι ἡμέ-
ρας ἐνώπιον αὐτῶν· καὶ αἰχμαλωτευ-
θήσῃ ἐκ τοῦ τόπου σου εἰς ἕτερον τόπον ἐνώ-
πιον αὐτῶν, ὅπως ἴδωσι· διότι
οἶκος παραπικραίνων ἐστί. καὶ ἐξοί-
σεις τὰ σκεύη σου ὡς σκεύη αἰχμαλωσίας ἡμέ-
ρας κατ' ὀφθαλμοὺς αὐτῶν· καὶ σὺ ἐξε-
λεύσῃ ἑσπέρας ἐνώπιον αὐτῶν ὡς ἐκ-
πορεύεται αἰχμάλωτος. διόρυξον σεαυτῷ
εἰς τὸν τοῖχον καὶ διεξελεύσῃ δι' αὐτοῦ ἐνώ-
πιον αὐτῶν· ἐπ' ὤμων ἀναληφθήσῃ
καὶ κεκρυμμένος ἐξελεύσῃ· τὸ πρόσωπόν
σου συγκαλύψεις καὶ οὐ μὴ ἴδῃς τὴν γῆν· διό-
τι τέρας δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ. καὶ
ἐποίησα οὕτως κατὰ πάντα ὅσα ἐνε-
τείλατό μοι· καὶ σκεύη ἐξήνεγκα ὡς σκεύη αἰχ-
μαλωσίας ἡμέρας· καὶ ἑσπέρας διώρυξα
ἐμαυτῷ τὸν τοῖχον τῇ χειρί· καὶ κεκρυμμέ-
νος ἐξῆλθον· ἐπ' ὤμων ἀνελήφθην ἐνώ-
πιον αὐτῶν. καὶ ἐγένετο λόγος κυρίου πρός με
λέγων· υἱὲ ἀνθρώπου, οὐκ εἶπον πρὸς σὲ ὁ οἶκος
Ἰσραήλ, ὁ παραπικραίνων· τί σὺ ποιεῖς; εἰ-
πὸν πρὸς αὐτούς· τάδε λέγει κύριος· ὁ ἄρχων
καὶ ὁ ἀφηγούμενος ἐν Ἱερουσαλὴμ καὶ παν-
τὶ οἴκῳ Ἰσραήλ, οἵ εἰσιν ἐν μέσῳ αὐτῆς. εἰπὸν ὅ-
τι ἐγὼ τέρατα ποιῶ ἐν μέσῳ αὐτῆς· ὃν τρόπον
πεποίηκα, οὕτως ἔσται αὐτοῖς· ἐν μετοικεσίᾳ
καὶ ἐν αἰχμαλωσίᾳ πορεύσονται. καὶ ὁ ἀφη-
γούμενος ἐν μέσῳ αὐτῶν ἐπ' ὤμων ἀρθή-
σεται· καὶ κεκρυμμένος ἐξελεύσεται διὰ τοῦ
τοίχου· διορύξει τοῦ ἐξελθεῖν αὐτὸν δι' αὐτοῦ·
τὸ πρόσωπον αὐτοῦ συγκαλύψει ὅπως μὴ
ὁραθῇ ὀφθαλμῷ· καὶ αὐτὸς τὴν γῆν οὐκ ὄ-
ψεται· καὶ ἐκπετάσω τὸ δίκτυόν μου ἐπ' αὐ-
τόν· καὶ συλληφθήσεται ἐν τῇ περιοχῇ μου· καὶ
ἄξω αὐτὸν εἰς Βαβυλῶνα εἰς γῆν Χαλδαί-
ων· καὶ αὐτὴν οὐκ ὄψεται· καὶ ἐκεῖ τελευτήσει.
καὶ πάντας τοὺς κύκλῳ αὐτοῦ τοὺς βοηθοὺς
αὐτοῦ· καὶ πάντας τοὺς ἀντιλαμβανομέ-
νους αὐτοῦ διασπερῶ εἰς πάντα ἄνεμον· καὶ μά-
χαιραν ἐκκενώσω ὀπίσω αὐτῶν· καὶ γνώ-
σονται διότι ἐγὼ κύριος, ἐν τῷ διασκορπίσαι
με αὐτοὺς ἐν τοῖς ἔθνεσι· καὶ διασπερῶ αὐτοὺς
ἐν ταῖς χώραις. καὶ ὑπολείψομαι ἐξ αὐτῶν ἄνδρας
ἀριθμῷ ἐκ ῥομφαίας καὶ ἐκ λιμοῦ καὶ
ἐκ θανάτου· ὅπως ἐκδιηγῶνται πάσας τὰς
ἀνομίας αὐτῶν ἐν τοῖς ἔθνεσιν οὗ εἰσήλ-
θοσαν ἐκεῖ· καὶ γνώσονται ὅτι ἐγὼ κύριος. καὶ
ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου·

τὸν ἄρτον σου μετ' ὀδύνης φάγεσαι· καὶ τὸ
ὕδωρ σου μετὰ βασάνου καὶ θλίψεως πίεσαι.
Καὶ ἐρεῖς πρὸς τὸν λαὸν τῆς γῆς· τάδε
λέγει Ἀδωναῒ κύριος τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ
ἐπὶ τῆς γῆς τοῦ Ἰσραήλ· τοὺς ἄρτους αὐτῶν
μετ' ἐνδείας φάγονται· καὶ τὸ ὕδωρ αὐτῶν μετὰ
ἀφανισμοῦ πίονται· ὅπως ἀφανισθῇ ἡ γῆ
σὺν τῷ πληρώματι αὐτῆς· ἐν ἀσεβείᾳ γὰρ
πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· καὶ αἱ πόλεις αἱ κατοι-
κούμεναι ἐξερημωθήσονται· καὶ ἡ γῆ αὐ-
τῆς εἰς ἀφανισμὸν ἔσται· καὶ ἐπιγνώσεσθε
ὅτι ἐγὼ κύριος. Καὶ ἐγένετο λόγος κυρίου πρός με
λ λέγων· υἱὲ ἀνθρώπου, τίς ὑμῖν ἡ παραβολὴ αὕτη ἐ-
πὶ τῆς γῆς τοῦ Ἰσραήλ, λέγοντες· μακρὰν αἱ ἡ-
μέραι· ἀπόλωλεν ὅρασις. διὰ τοῦτο
εἰπὸν πρὸς αὐτούς· τάδε λέγει κύριος· ἀποστρέ-
ψω τὴν παραβολὴν ταύτην· καὶ οὐκέτι μὴ εἴ-
πωσι τὴν παραβολὴν ταύτην ὁ οἶκος Ἰσραήλ· ὅτι
λαλήσεις πρὸς αὐτούς· ἤγγικασιν αἱ ἡμέραι
καὶ λόγος πάσης ὁράσεως· ὅτι οὐκ ἔσται ἔτι πᾶ-
σα ὅρασις ψευδής· καὶ μαντευόμενος τὰ πρὸς
χάριν ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ· διότι ἐγὼ κύριος λαλή-
σω τοὺς λόγους μου· λαλήσω καὶ ποιήσω· καὶ οὐ
μηκυνῶ ἔτι· ὅτι ἐν ταῖς ἡμέραις ὑμῶν οἶκος
ὁ παραπικραίνων λαλήσω λόγον καὶ ποιήσω,
λέγει Ἀδωναῒ κύριος. καὶ ἐγένετο λόγος κυρίου πρός με
λέγων· υἱὲ ἀνθρώπου, ἰδοὺ ὁ οἶκος Ἰσραὴλ ὁ παραπικραί-
νων λέγοντες λέγουσιν· ἡ ὅρασις ἣν οὗτος ὁρᾷ
εἰς ἡμέρας πολλάς· καὶ εἰς καιροὺς μακροὺς
οὗτος προφητεύει. διὰ τοῦτο εἰπὸν πρὸς αὐτούς·
ιγ τάδε λέγει Ἀδωναῒ κύριος· οὐ μὴ μηκύνωσιν οὐκέ-
τι πάντες οἱ λόγοι μου οὓς ἂν λαλήσω· ὅτι λαλήσω
λόγον καὶ ποιήσω, λέγει Ἀδωναῒ κύριος. Καὶ ἐγένετο λόγος
κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου, προ-
φήτευσον ἐπὶ τοὺς προφήτας τοῦ Ἰσραὴλ τοὺς προ-
φητεύοντας· καὶ ἐρεῖς τοῖς προφήταις τοῖς
προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν· καὶ προ-
φητεύσεις καὶ ἐρεῖς πρὸς αὐτούς· ἀκούσατε
λόγον κυρίου· τάδε λέγει Ἀδωναῒ κύριος· οὐαὶ τοῖς
προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν· καὶ
τὸ καθόλου μὴ βλέπουσιν. οἱ προφῆταί σου Ἰσραὴλ
ὡς ἀλώπεκες ἐν ταῖς ἐρήμοις. οὐκ ἔστησαν
ἐν στερεώματι· καὶ συνήγαγον ποίμνια
ἐπὶ τὸν οἶκον Ἰσραήλ· οὐκ ἀνέστησαν οἱ λέγοντες
ἐν ἡμέρᾳ κυρίου· βλέποντες ψευδῆ, μαντευό-
μενοι μάταια· οἱ λέγοντες λέγει κύριος· καὶ κύριος
οὐκ ἀπέσταλκεν αὐτούς· καὶ ἤρξαντο τοῦ ἀναστῆ-
σαι λόγον· οὐχ ὅρασιν ψευδῆ ἑωράκατε καὶ
μαντείας ματαίας εἰρήκατε. καὶ λέγοντες λέγει
κύριος· καὶ ἐγὼ οὐκ ἐλάλησα. διὰ τοῦτο εἰπόν· τάδε λέγει Ἀ-
δωναῒ κύριος· ἀνθ' ὧν οἱ λόγοι ὑμῶν ψευδεῖς

Ἐγὼ λόγος κύριος πρὸς με λέγων· ἐὰν ἀφῶ
ἀπ' αὐτοῦ. εἶτα
αὐτὸ· σὺ γὰρ ἦλθες ὁρμέμενος· οὐδὲ ἐξέστω ἐμὲ
τοῦτο σε· ἐγὼ μεμέρισμαι· οἱ ἁρπαγούμενοι ἐμεῦ
αὐτὸν ὡς λύτρωσαι ἐμέ μου· ἁρπαζόμενος
ταγμένον· μὴ ἀποκλινάτω ἐπ' ἐμοὶ ὀργὴ σου· ἐπειδὴ
λαμβάνων οὐ τὸ ἐν ἐδεσμάσι· καὶ ἐὰν οὐκ ἔστω σὺ
θὴ σὺ φεύγει με σὸν σου· καὶ οἱ ἐλαύνοντές σε ἐξ
μόν μου· καὶ ἐπὶ σὲ ἀκολουθήσουσιν ἐμοί· ἁρπαγὴ με
σὸν ἁλοὺς καὶ μὴ ἐκλυόμενος ἐμοί· ἁρπαγὴ με σὸν
ἀπὸ τῶν σαπιόντων τῶν ἐν ἐμοὶ ἁμαρτημάτων
ὁ θεὸς μου εἰς τέλος· καὶ τὰ σαπιόντα μου ἐν
λουμένη με σὸν αὐτῶν· οἱ ἀρχόντες αὐτῶν
σὸν αὐτὸν ὡς λύτρωσαι ἁρπαζόμενος ἁρπαγῆς
τοῦ δικαίου με· ὁ ὢν σὸν πολεμῶν πολεμή-
λιτόν με· καὶ οἱ προφῆται αὐτῶν οἱ ἀφρό-
αὐτὸν ἰσοῦνται· ὁ θεός μου σὸν ἐμοί· μὴ
μενοι ἐν ἐμοὶ· λάμψατε πάντες ἐν δεξιᾷ· καὶ
λαμβάνων· λαὸς ἐν γῇ ὃν πολεμήσω ἐν δεξιᾷ· τὰ ἔθνη
δικίαν· καὶ δίκαιον ἁρπάζομενος· πᾶς
καὶ τὰ βλαστήσαντα δώσω σε ἐν· καὶ ἐν τῷ
μερισθήσεται ἐν μέσῳ αὐτῶν· καὶ τὰ ἐν μέσῳ αὐτῶν
ὁ θεός μου ὁλοσχερῶς ἐν μέσῳ τῆς γῆς· τὸ μέλι τὸ
λοσθήσεται αὐτὴν καὶ οὐχ εὑρήσουσιν· καὶ ἐξάρω τὰ
μου τὸν θυμόν μου· ἐν τῷ ζήλῳ τοῦ
τὸ ἀπὸ τῶν σαπιόντων μου τῶν ἐν ἐμοὶ ἁμαρτημάτων
δέδωκα· λέγει κύριος· καὶ ἐγὼ λύτρωσαι
Ῥώσῃ· λάμψον· ἐν ἄρχοντι· ὁ δοῦλός μου εἶ σὺ καὶ ἐγὼ
μενος ἐν μέσῳ μου· καὶ ἐξολεθρεύσω τὰ
μένα ἐν τῇ γῇ ταύτῃ· ἐν ἐμοὶ ἐν ἐμοὶ
τὰ δὲ ὁρμήματα αὐτῶν· ἐν ὁδοῖς
πόρευσαι καὶ ὅλι καὶ· καὶ ἐὰν ἐλθὼν
τὸ μου· καὶ ἐξολεθρεύσω καὶ ἐξολεθρεύσω
ὁρμᾶται αὐτῶν· σαπιόντων
ἐν ὅλου· καὶ ἐξ ὁρμᾶται
μοῦ· καὶ τοῦτο θὲς τοῖς τοῖς
τοῖς αὐτοῖς τοῖς
δεδυλώσατο ἐν ἐμοὶ μου· ἐν μέρεσι καὶ
ἐν· ἐν ἐμοὶ ἐν ἐμοὶ· καὶ ἐν ἐμοὶ
μενος ἐν ἐμοὶ· καὶ ἐν ἐμοὶ
λοσ ἐξολεθρεύσω τὸ
καὶ τὰ βλαστήσαντα δώσω σε ἐν· καὶ ἐν τῷ
μερισθήσεται ἐν μέσῳ αὐτῶν· καὶ τὰ ἐν μέσῳ αὐτῶν
ὁ θεός μου ὁλοσχερῶς ἐν μέσῳ τῆς γῆς· τὸ μέλι τὸ
λοσθήσεται αὐτὴν καὶ οὐχ εὑρήσουσιν· καὶ ἐξάρω τὰ
μου τὸν θυμόν μου· ἐν τῷ ζήλῳ τοῦ
τὸ ἀπὸ τῶν σαπιόντων μου τῶν ἐν ἐμοὶ ἁμαρτημάτων
δέδωκα· λέγει κύριος· καὶ ἐγὼ λύτρωσαι

Ῥώσῃ· λάμψον· ἐν ἄρχοντι· ὁ δοῦλός μου εἶ σὺ καὶ ἐγὼ
μενος ἐν μέσῳ μου· καὶ ἐξολεθρεύσω τὰ
μένα ἐν τῇ γῇ ταύτῃ· ἐν ἐμοὶ ἐν ἐμοὶ
τὰ δὲ ὁρμήματα αὐτῶν· ἐν ὁδοῖς
πόρευσαι καὶ ὅλι καὶ· καὶ ἐὰν ἐλθὼν
τὸ μου· καὶ ἐξολεθρεύσω καὶ ἐξολεθρεύσω
ὁρμᾶται αὐτῶν· σαπιόντων
ἐν ὅλου· καὶ ἐξ ὁρμᾶται
μοῦ· καὶ τοῦτο θὲς τοῖς τοῖς
τοῖς αὐτοῖς τοῖς
δεδυλώσατο ἐν ἐμοὶ μου· ἐν μέρεσι καὶ
ἐν· ἐν ἐμοὶ ἐν ἐμοὶ· καὶ ἐν ἐμοὶ
μενος ἐν ἐμοὶ· καὶ ἐν ἐμοὶ
λοσ ἐξολεθρεύσω τὸ
καὶ τὰ βλαστήσαντα δώσω σε ἐν· καὶ ἐν τῷ
μερισθήσεται ἐν μέσῳ αὐτῶν· καὶ τὰ ἐν μέσῳ αὐτῶν
ὁ θεός μου ὁλοσχερῶς ἐν μέσῳ τῆς γῆς· τὸ μέλι τὸ
λοσθήσεται αὐτὴν καὶ οὐχ εὑρήσουσιν· καὶ ἐξάρω τὰ
μου τὸν θυμόν μου· ἐν τῷ ζήλῳ τοῦ
τὸ ἀπὸ τῶν σαπιόντων μου τῶν ἐν ἐμοὶ ἁμαρτημάτων
δέδωκα· λέγει κύριος· καὶ ἐγὼ λύτρωσαι

οἷς ἀγγέλους ἐξαπεστέλλετε πρὸς αὐτούς·
καὶ ἅμα τῷ ἔρχεσθαι αὐτούς· εὐθὺς ἐλούου
καὶ ἐστιβίζου τοὺς ὀφθαλμούς σου· καὶ ἐ
κοσμοῦ κόσμῳ· καὶ ἐκάθου ἐπὶ κλίνης ἐστρω
μένης· καὶ τράπεζα κεκοσμημένη πρὸ
προσώπου αὐτῆς· καὶ τὸ θυμίαμά μου καὶ
τὸ ἔλαιόν μου ηὐφραίνοντο ἐν αὐτοῖς·
φωνὴν ἁρμονίας ἀνεκρούοντο· καὶ πρὸς
ἄνδρας ἐκ πλήθους ἀνθρώπων ἥκοντας· ἐρχο
μένους ἐκ τῆς ἐρήμου· καὶ ἐδίδοσαν ψέ
λια ἐπὶ τὰς χεῖρας αὐτῶν· καὶ στέ
φανον καυχήσεως ἐπὶ τὰς κεφαλὰς αὐτ
Καὶ εἶπα· οὐκ ἐν τούτοις μοιχεύει καὶ
ἔργα πορνείας ποιοῦσιν; καὶ αὐτὴ ἐξεπόρ
νευσεν· καὶ εἰσεπορεύοντο πρὸς αὐτήν· ὃν
τρόπον εἰσπορεύονται πρὸς γυναῖκα
πόρνην· οὕτως εἰσεπορεύοντο πρὸς Ὀολὰν καὶ
πρὸς Ὀλιβὰν τοῦ ποιῆσαι ἀνομίαν· καὶ
ἄνδρες δίκαιοι αὐτοί· καὶ ἐκδικήσουσιν αὐ
τὰς ἐκδικήσει μοιχαλίδων· καὶ ἐκδική
σει αἵματος· ὅτι μοιχαλίδες εἰσί· καὶ αἷμα
ἐν χερσὶν αὐτῶν· ὅτι τάδε λέγει κύριος κύριος· ἀ
νάγαγε ἐπ᾽ αὐτὰς ὄχλον· καὶ δὸς ἐπ᾽ αὐτὰς ἐν τα
ραχῇ καὶ διαρπαγῇ· καὶ λιθοβόλησον ἐπ᾽ αὐ
τὰς λίθοις ὄχλων· καὶ κατακέντει αὐτὰς
ἐν τοῖς ξίφεσιν αὐτῶν· υἱοὺς αὐτῶν καὶ θυ
γατέρας αὐτῶν ἀποκτενοῦσιν· καὶ τοὺς
οἴκους αὐτῶν ἐν πυρὶ ἐμπρήσουσιν· καὶ
ἀποστρέψω ἀσέβειαν ἐκ τῆς γῆς· καὶ παι
δευθήσονται πᾶσαι αἱ γυναῖκες· καὶ οὐ μὴ ποι
ήσουσι κατὰ τὰς ἀσεβείας αὐτῶν· καὶ
δοθήσονται αἱ ἀσέβειαι ὑμῶν ἐφ᾽ ὑμᾶς· καὶ
τὰς ἁμαρτίας τῶν ἐνθυμημάτων ὑμῶν
λήψεσθε· καὶ γνώσεσθε διότι ἐγὼ κύριος κύριος.
Καὶ ἐγένετο λόγος κυρίου πρός με· ἐν τῷ ἔ
τει τῷ ἐνάτῳ ἐν τῷ μηνὶ τῷ δεκάτῳ· δεκάτῃ
τοῦ μηνός· λέγων· υἱὲ ἀνθρώπου· γράψον σε
αυτῷ εἰς ἡμέραν ἀπὸ τῆς ἡμέρας ταύ
της· ἀφ᾽ ἧς ἀπηρείσατο βασιλεὺς Βαβυ
λῶνος ἐπὶ Ἱερουσαλὴμ ἀπὸ τῆς ἡμέρας τῆς
σήμερον· καὶ εἰπὸν ἐπὶ τὸν οἶκον τὸν πα
ραπικραίνοντα παραβολήν· καὶ ἐρεῖς
πρὸς αὐτούς· τάδε λέγει κύριος· ἐπίστησον
τὸν λέβητα· καὶ ἔκχεον εἰς αὐτὸν ὕδωρ·
καὶ ἔμβαλε εἰς αὐτὸν τὰ διχοτομήματα·
πᾶν διχοτόμημα καλόν· σκέλος καὶ ὦ
μον· ἐκ τῶν σαρκῶν ἐκσεσαρκισμένα ἀπὸ τῶν ὀστῶν·
ἐξ ἐκλεκτῶν κτηνῶν εἰλημμένων· καὶ
ὑπόκαιε τὰ ὀστᾶ ὑποκάτω αὐτῶν· ἔζε
σεν ἔζεσε· καὶ ἥψηται τὰ ὀστᾶ αὐτῆς ἐν
μέσῳ αὐτῆς· διὰ τοῦτο τάδε λέγει ἀδωναῒ
κύριος· ὦ πόλις αἱμάτων· λέβης ἐν ᾧ
ἐστιν ἰὸς ἐν αὐτῷ· καὶ ὁ ἰὸς οὐκ ἐξῆλθεν ἐξ
αὐτῆς· κατὰ μέλος αὐτῆς ἐξήνεγκεν· οὐκ ἔ
πεσεν ἐπ᾽ αὐτὴν κλῆρος· ὅτι αἷμα ἐν μέσῳ αὐτῆς
ἐστίν· ἐπὶ λεωπετρίαν τέταχα αὐτό· οὐκ ἐ
κχέω αὐτὸ ἐπὶ τὴν γῆν· τοῦ καλύψαι ἐπ᾽ αὐ
τὸ γῆν· τοῦ ἀναβῆναι θυμὸν εἰς ἐκδίκησιν
ἐκδικηθῆναι· δέδωκα τὸ αἷμα αὐτῆς ἐπὶ
λεωπετρίαν τοῦ μὴ καλύψαι αὐτό· διὰ τοῦτο
Τάδε λέγει ἀδωναῒ κύριος· οὐαὶ πόλις αἱμάτων·
καὶ ἐγὼ μεγαλυνῶ τὸν δαλόν· καὶ πληθυνῶ τὰ
ξύλα· καὶ ἀνακαύσω τὸ πῦρ· ὅπως τακῇ
τὰ κρέα· καὶ ἐλαττωθῇ ὁ ζωμός· καὶ τὰ
ὀστᾶ συμφρυγήσονται· καὶ ἐπὶ στῶ ἐπὶ τὰ
ἄνθρακας αὐτῆς ὅπως ἐξαφθῇ· καὶ ὅπως
προσκαυθῇ· καὶ θερμανθῇ· ὅπως συμ
φρυγῇ ὁ χαλκὸς αὐτῆς· καὶ τακῇ ἐν μέσῳ ἀ
καθαρσίας αὐτῆς· καὶ ἐκλείπῃ ὁ ἰὸς αὐτῆς·
καὶ οὐ μὴ ἐξέλθῃ ἐξ αὐτῆς· πολὺς ὁ ἰὸς αὐ
τῆς· καὶ καταισχυνθήσεται ὁ ἰὸς ἐν
ἀκαθαρσίᾳ σου· καὶ τί ἐὰν μὴ καθαρισθῇς
ἔτι· ἕως ἂν ἐμπλήσω τὸν θυμόν μου ἐν
αἵμασιν ἀνθ᾽ ὧν ἐμιαίνου σύ· καὶ οὐ μὴ καθαρισθῇς
ἀπὸ ἀκαθαρσίας σου· ἐγὼ κύριος λελάληκα· καὶ ἥξει
καὶ ποιήσω· οὐ διαστελῶ· οὐδὲ μὴ ἐλεήσω· κα
τὰ τὰς ὁδούς σου καὶ κατὰ τὰ ἐνθυμήματά
σου κρινῶ σε· λέγει ἀδωναῒ κύριος· διὰ τοῦτο ἐγὼ
κρινῶ σε κατὰ τὰ αἵματά σου· καὶ κατὰ
τὰ ἐνθυμήματά σου κρινῶ σε· ἡ ἀκάθαρ
τος ἡ ὀνομαστὴ καὶ πολλὴ τοῦ παραπικραίνειν.
Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου·
ἰδοὺ ἐγὼ λαμβάνω ἐκ σοῦ τὰ ἐπιθυμήματα τῶν
ὀφθαλμῶν σου ἐν παρατάξει· οὐ μὴ κοπῇς
οὐδ᾽ οὐ μὴ κλαυσθῇς· στεναγμὸς αἵματος· ὀσ
φύος πένθος ἐστίν· οὐ καταστεῖχος
συμπεπλεγμένον ἐπὶ σέ· καὶ τὰ ὑποδή
ματά σου ἐν τοῖς ποσί σου· οὐ μὴ παρακλη
θῇς ἐν χείλεσιν αὐτῶν· καὶ ἄρτον ἀνδρῶν οὐ
μὴ φάγῃς· καὶ ἐλάλησα πρὸς τὸν λαὸν τὸ πρωῒ
ὃν τρόπον ἐνετείλατό μοι· καὶ ἀπέθανεν ἡ γυ
νή μου ἑσπέρας· καὶ ἐποίησα τὸ πρωῒ καθότι
προσετέταχέ μοι· καὶ εἶπε πρός με ὁ λαός·
οὐκ ἀναγγελεῖς ἡμῖν τί ἐστι ταῦτα ἃ σὺ ποιεῖς;
καὶ εἶπα πρὸς αὐτούς· λόγος κυρίου ἐγένετο πρὸς
με λέγων· εἶπον πρὸς τὸν οἶκον τοῦ Ἰσραήλ· τά
δε λέγει κύριος· ἰδοὺ ἐγὼ βεβηλῶ τὰ ἅγιά μου· φρύαγμα
ἰσχύος ὑμῶν· τὰ ἐπιθυμήματα ὀφθαλμῶν ὑμῶν·
καὶ ὑπὲρ ὧν φείδονται αἱ ψυχαὶ ὑμῶν· καὶ οἱ υἱοὶ
ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν οὓς ἐγκατελίπετε
ἐν ῥομφαίᾳ πεσοῦνται· καὶ ποιήσετε καθὰ
πεποίηκα· ἀπὸ στόματος αὐτῶν οὐ
μὴ παρακληθήσεσθε· καὶ ἄρτον ἀνδρῶν οὐ
φάγεσθε· καὶ αἱ κόμαι ὑμῶν ἐπὶ τὰς κεφαλάς

ἐπὶ Σιδῶνα καὶ προφήτευσον ἐπ᾽ αὐτὴν καὶ εἰπόν· τάδε λέγει ἀδωναῒ κύριος· ἰδοὺ ἐγὼ ἐπὶ σὲ Σιδών· καὶ ἐνδοξασθήσομαι ἐν σοί· καὶ γνώσῃ ὅτι ἐγὼ κύριος· ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα· καὶ ἁγιασθήσομαι ἐν σοί· καὶ ἀποστελῶ ἐπὶ σὲ θάνατον· καὶ αἷμα ἐν ταῖς πλατείαις σου· καὶ πεσοῦνται τετραυματισμένοι ἐν σοὶ ἐν μαχαίρᾳ· καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος· καὶ οὐκ ἔσονται ἔτι τῷ οἴκῳ Ἰσραὴλ σκόλοψ πικρίας· καὶ ἄκανθα ὀδύνης ἀπὸ πάντων τῶν περικύκλῳ αὐτῶν τῶν ἀτιμασάντων αὐτούς· καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος· τάδε λέγει ἀδωναῒ κύριος· καὶ συνάξω τὸν οἶκον Ἰσραὴλ ἐκ τῶν ἐθνῶν οὗ διεσκορπίσθησαν ἐκεῖ· καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς ἐνώπιον τῶν λαῶν καὶ τῶν ἐθνῶν· καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν ἣν ἔδωκα τῷ δούλῳ μου Ἰακώβ· καὶ κατοικήσουσιν ἐπ᾽ αὐτῆς ἐν ἐλπίδι· καὶ οἰκοδομήσουσιν οἰκίας· καὶ φυτεύσουσιν ἀμπελῶνας· καὶ κατοικήσουσιν ἐπ᾽ ἐλπίδι· ὅταν ποιήσω κρίμα ἐν πᾶσι τοῖς ἀτιμάσασιν αὐτοὺς ἐν τοῖς κύκλῳ αὐτῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν· καὶ ὁ θεὸς τῶν πατέρων αὐτῶν:

φαραὼ βασιλεῖ αἰγύπτου.

Ἐν τῷ ἔτει τῷ δεκάτῳ ἐν τῷ δεκάτῳ μηνὶ μιᾷ τοῦ μηνός· ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου· στήρισον τὸ πρόσωπόν σου ἐπὶ φαραὼ βασιλέα αἰγύπτου· καὶ προφήτευσον ἐπ᾽ αὐτὸν καὶ ἐπ᾽ αἴγυπτον ὅλην· λάλησον καὶ εἰπόν· τάδε λέγει κύριος κύριος· ἰδοὺ ἐγὼ ἐπὶ σὲ φαραὼ βασιλέα αἰγύπτου· τὸν δράκοντα τὸν μέγαν τὸν ἐγκαθήμενον ἐν μέσῳ ποταμῶν αὐτοῦ· τὸν λέγοντα· ἐμοί εἰσιν οἱ ποταμοί· καὶ ἐγὼ ἐποίησα αὐτούς· καὶ ἐγὼ δώσω παγίδας εἰς τὰς σιαγόνας σου· καὶ προσκολλήσω τοὺς ἰχθύας τοῦ ποταμοῦ σου πρὸς τὰς πτέρυγάς σου· καὶ ἀνάξω σε ἐκ μέσου τοῦ ποταμοῦ σου· καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ· καὶ κατασπάσω σε ἐν τάχει· καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου· ἐπὶ πρόσωπον τοῦ πεδίου πεσῇ· καὶ οὐ μὴ συναχθῇς· καὶ οὐ μὴ περισταλῇς· τοῖς θηρίοις τῆς γῆς· καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ δέδωκά σε εἰς κατάβρωμα· καὶ γνώσονται πάντες οἱ κατοικοῦντες αἴγυπτον ὅτι ἐγώ εἰμι κύριος· ἀνθ᾽ ὧν ἐγενήθης ῥάβδος καλαμίνη τῷ οἴκῳ Ἰσραήλ· ὅτι ἐπελάβοντό σου τῇ χειρὶ αὐτῶν καὶ ἐθλάσθης· ὅτε ἐκράτησεν ἐπ᾽ αὐτοὺς τῇ χειρί· καὶ ὅτε ἐπανεπαύσαντο ἐπὶ σὲ συνετρίβης· καὶ συνέκλασας αὐτῶν πᾶσαν ὀσφύν· διὰ τοῦτο τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ῥομφαίαν· καὶ ἀπολῶ ἀνθρώπους ἀπὸ σοῦ καὶ κτήνη· καὶ ἔσται ἡ γῆ αἰγύπτου ἀπώλεια καὶ ἔρημος· καὶ γνώσονται ὅτι ἐγὼ κύριος ὁ θεός· ἀνθ᾽ ὧν τοῦ λέγειν σε· οἱ ποταμοὶ ἐμοί εἰσι καὶ ἐγὼ ἐποίησα αὐτούς· διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπὶ σὲ καὶ ἐπὶ πάντας τοὺς ποταμούς σου· καὶ δώσω τὴν γῆν αἰγύπτου εἰς ἔρημον· καὶ ῥομφαίαν καὶ ἀπώλειαν ἀπὸ μαγδώλου καὶ συήνης· καὶ ἕως ὁρίων αἰθιόπων· οὐ μὴ διέλθῃ δι᾽ αὐτῆς πούς ἀνθρώπου· καὶ ποὺς κτήνους οὐ μὴ διέλθῃ αὐτήν· καὶ οὐ κατοικηθήσεται τεσσαράκοντα ἔτη· καὶ δώσω τὴν γῆν αὐτῆς ἀπώλειαν ἐν μέσῳ γῆς ἠρημωμένης· καὶ αἱ πόλεις αὐτῆς ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται τεσσαράκοντα ἔτη· καὶ διασπερῶ αἴγυπτον ἐν τοῖς ἔθνεσιν· καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας· ὅτι τάδε λέγει κύριος κύριος· μετὰ τεσσαράκοντα ἔτη συνάξω αἰγυπτίους ἀπὸ τῶν ἐθνῶν οὗ διεσκορπίσθησαν ἐκεῖ· καὶ ἀποστρέψω τὴν αἰχμαλωσίαν τῶν αἰγυπτίων· καὶ κατοικιῶ αὐτοὺς ἐν γῇ παθουρῆς ἐν τῇ γῇ ὅθεν ἐλήφθησαν· καὶ ἔσται ἀρχὴ ταπεινὴ παρὰ πάσας τὰς ἀρχάς· οὐ μὴ ὑψωθῇ ἔτι ἐπὶ τὰ ἔθνη· καὶ ὀλιγοστοὺς αὐτοὺς ποιήσω τοῦ μὴ εἶναι αὐτοὺς πλείονας ἐν τοῖς ἔθνεσιν· καὶ οὐκέτι ἔσονται τῷ οἴκῳ Ἰσραὴλ εἰς ἐλπίδα ἀναμιμνήσκουσαν ἀνομίαν ἐν τῷ ἀκολουθῆσαι αὐτοὺς ὀπίσω αὐτῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι ἀδωναῒ κύριος.

Καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ καὶ εἰκοστῷ ἔτει· μιᾷ τοῦ μηνὸς τοῦ πρώτου· ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου· ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος κατεδουλώσατο τὴν δύναμιν αὐτοῦ δουλείᾳ μεγάλῃ ἐπὶ τύρου· πᾶσα κεφαλὴ φαλακρὰ καὶ πᾶς ὦμος μαδῶν· καὶ μισθὸς οὐκ ἐγενήθη αὐτοῖς· καὶ τῇ δυνάμει αὐτοῦ ἐπὶ τύρον· καὶ τῆς δουλείας αὐτοῦ ἧς ἐδούλευσαν ἐπ᾽ αὐτήν· διὰ τοῦτο τάδε λέγει κύριος κύριος· ἰδοὺ δίδωμι ναβουχοδονόσορ βασιλεῖ βαβυλῶνος γῆν αἰγύπτου· καὶ προνομεύσει τὴν προνομὴν αὐτῆς· καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς· καὶ ἔσται μισθὸς τῇ δυνάμει αὐτοῦ· ἀντὶ τῆς λειτουργίας αὐτοῦ ἧς ἐδούλευσεν ἐπὶ τύρον· δέδωκα αὐτῷ γῆν αἰγύπτου ἃ ἐποίησέ μοι· τάδε λέγει κύριος κύριος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνατελεῖ κέρας παντὶ τῷ οἴκῳ Ἰσραήλ· καὶ σοὶ δώσω στόμα ἀνεῳγμένον ἐν μέσῳ αὐτῶν· καὶ γνώσονται ὅτι ἐγὼ κύριος· καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου προφήτευσον καὶ εἰπόν· τάδε λέγει ἀδωναῒ κύριος· ὢ ὢ ἡμέρα· ὅτι ἐγγὺς ἡμέρα κυρίου· ἡμέρα νεφέλης πέρας ἐθνῶν ἔσται· καὶ ἥξει μάχαιρα ἐπ᾽ αἰγυπτίους· καὶ ἔσται ταραχὴ ἐν αἰθιοπίᾳ· καὶ πεσοῦνται τετραυματισμένοι ἐν αἰγύπτῳ· καὶ ληφθήσεται τὸ πλῆθος αὐτῆς· καὶ συμπεσεῖται τὰ θεμέλια αὐτῆς· καὶ πέρσαι καὶ κρῆτες καὶ λυδοὶ καὶ λίβυες· καὶ πάντες οἱ ἐ-

τοῖς εἰδώλοις αὐτῶν ἐμίαναν αὐτήν. καὶ διέ-
σπειρα αὐτοὺς εἰς τὰ ἔθνη καὶ ἐλίκμησα
αὐτοὺς εἰς τὰς χώρας· κατὰ τὴν ὁδὸν αὐτῶν
καὶ κατὰ τὴν ἁμαρτίαν αὐτῶν ἔκρινα αὐ-
τούς. καὶ εἰσῆλθον εἰς τὰ ἔθνη οὗ εἰσήλθο-
σαν ἐκεῖ· καὶ ἐβεβήλωσαν τὸ ὄνομα τὸ ἅγιόν μου·
ἐν τῷ λέγεσθαι αὐτοὺς λαὸς κυρίου οὗτοι· καὶ ἐκ
τῆς γῆς αὐτοῦ ἐξεληλύθασιν. καὶ ἐφεισάμην
αὐτῶν διὰ τὸ ὄνομά μου τὸ ἅγιον· ὃ ἐβεβή-
λωσαν οἶκος Ἰσραὴλ ἐν τοῖς ἔθνεσιν οὗ εἰσήλθοσαν
ἐκεῖ. διὰ τοῦτο εἰπὸν τῷ οἴκῳ Ἰσραήλ· τάδε
λέγει κύριος κύριος· οὐχ ὑμῖν ἐγὼ ποιῶ οἶκος Ἰσραήλ· ἀλλ'
διὰ τὸ ὄνομά μου τὸ ἅγιον ὃ ἐβεβηλώσατε
ἐν τοῖς ἔθνεσιν οὗ εἰσήλθετε ἐκεῖ. καὶ ἁγιάσω
τὸ ὄνομά μου τὸ μέγα τὸ βεβηλωθὲν ἐν τοῖς
ἔθνεσιν· ὃ ἐβεβηλώσατε ἐν μέσῳ αὐτῶν.
καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι κύριος· λέγει ἀ-
δωναῒ κύριος· ἐν τῷ ἁγιασθῆναί με ἐν ὑμῖν κατ' ὀ-
φθαλμοὺς αὐτῶν. καὶ λήμψομαι ὑμᾶς ἐκ τῶν
ἐθνῶν· καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν
γαιῶν· καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν· καὶ
ῥανῶ ἐφ' ὑμᾶς καθαρὸν ὕδωρ· καὶ καθαρισ-
θήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν
καὶ ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν· καὶ κα-
θαριῶ ὑμᾶς. καὶ δώσω ὑμῖν καρδίαν καινὴν
καὶ πνεῦμα καινὸν δώσω ἐν ὑμῖν· καὶ ἀφελῶ
τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς
ὑμῶν· καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην· καὶ
τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν· καὶ ποιήσω ἵνα
ἐν τοῖς δικαιώμασί μου πορεύησθε· καὶ τὰ
κρίματά μου φυλάξησθε· καὶ ποιήσητε· καὶ
κατοικήσετε ἐπὶ τῆς γῆς ἧς ἔδωκα τοῖς
πατράσιν ὑμῶν· καὶ ἔσεσθέ μοι εἰς λαὸν κἀ-
γὼ ἔσομαι ὑμῖν εἰς θεόν. καὶ σώσω ὑμᾶς ἐκ πα-
σῶν τῶν ἀκαθαρσιῶν ὑμῶν· καὶ καλέσω τὸν
σῖτον καὶ πληθυνῶ αὐτόν· καὶ οὐ δώσω ἐφ' ὑ-
μᾶς λιμόν· καὶ πληθυνῶ τὸν καρπὸν τοῦ
ξύλου καὶ τὰ γεννήματα τοῦ ἀγροῦ· ὅπως
ἂν μὴ λάβητε εἰς ὀνειδισμὸν λιμοῦ ἐν τοῖς
ἔθνεσιν. καὶ μνησθήσεσθε τὰς ὁδοὺς ὑμῶν
τὰς πονηράς· καὶ τὰ ἐπιτηδεύματα ὑμῶν
τὰ μὴ ἀγαθά· καὶ προσοχθιεῖτε κατὰ πρό-
σωπον αὐτῶν ἐν ταῖς ἀνομίαις ὑμῶν καὶ
ἐν τοῖς βδελύγμασιν ὑμῶν. οὐ δι' ὑμᾶς ἐγὼ ποι-
ῶ· λέγει κύριος κύριος· γνωστὸν ἔσται ὑμῖν· αἰσχύνθη-
τε καὶ ἐντράπητε ἐκ τῶν ὁδῶν ὑμῶν οἶ-
κος Ἰσραήλ. τάδε λέγει κύριος κύριος· ἐν ἡμέρᾳ ᾗ κα-
θαριῶ ὑμᾶς ἐκ πασῶν τῶν ἀνομιῶν ὑμῶν
καὶ κατοικιῶ τὰς πόλεις· καὶ οἰκοδομηθήσον-
ται ἔρημοι· καὶ ἡ γῆ ἡ ἠφανισμένη ἐργασθή-
σεται· ἀνθ' ὧν ὅτι ἠφανισμένη ἐγενήθη κατ'
ὀφθαλμοὺς τῶν ἐθνῶν παντὸς τοῦ πα-
ροδεύοντος. καὶ ἐροῦσιν· ἡ γῆ ἐκείνη ἡ ἠφα-

νισμένη ἐγενήθη ὡς κῆπος τρυφῆς· καὶ αἱ πό-
λεις αἱ ἔρημοι καὶ ἠφανισμέναι καὶ κατεσκαμμέ-
ναι, ὀχυραὶ ἐκάθισαν· καὶ γνώσονται τὰ ἔθνη
ὅσα ἂν καταλειφθῶσι κύκλῳ ὑμῶν, ὅτι ἐγὼ κύριος ᾠ-
κοδόμησα τὰς καθῃρημένας· καὶ κατεφύτευσα
τὰς ἠφανισμένας· ἐγὼ κύριος ἐλάλησα καὶ ποιήσω. τάδε
λέγει κύριος κύριος· ἔτι τοῦτο ζητηθήσομαι τῷ οἴκῳ Ἰσραὴλ
τοῦ ποιῆσαι αὐτοῖς· πληθυνῶ αὐτοὺς ὡς πρόβα-
τα ἀνθρώπους· ὡς πρόβατα ἅγια· ὡς πρόβατα Ἱερουσαλὴμ ἐν
ταῖς ἑορταῖς αὐτῆς. οὕτως ἔσονται αἱ πόλεις αἱ ἔ-
ρημοι πλήρεις προβάτων ἀνθρώπων· καὶ γνώσονται ὅτι
ἐγὼ κύριος. καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου καὶ ἐξήγαγέ με ἐν
πνεύματι κυρίου· καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου· καὶ τοῦτο
ἦν μεστὸν ὀστέων ἀνθρωπίνων. καὶ περιήγαγέ με ἐπ' αὐτὰ
κυκλόθεν κύκλῳ· καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσ-
ώπου τοῦ πεδίου· καὶ ἰδοὺ ξηρὰ σφόδρα. καὶ εἶπε
πρός με· υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστᾶ ταῦτα; καὶ εἶπα·
κύριε κύριε σὺ ἐπίστασαι ταῦτα. καὶ εἶπε πρός με·
υἱὲ ἀνθρώπου· προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα καὶ
ἐρεῖς αὐτοῖς· τὰ ὀστᾶ τὰ ξηρὰ ἀκούσατε λόγον κυρίου.
τάδε λέγει κύριος κύριος τοῖς ὀστέοις τούτοις· ἰδοὺ
φέρω ἐφ' ὑμᾶς πνεῦμα ζωῆς· καὶ δώσω ἐφ' ὑ-
μᾶς νεῦρα καὶ ἀνάξω ἐφ' ὑμᾶς δέρμα· καὶ δώσω εἰς
ὑμᾶς τὸ πνεῦμά μου· καὶ ζήσεσθε· καὶ γνώσεσθε ὅ-
τι ἐγώ εἰμι κύριος. καὶ ἐπροφήτευσα· καὶ ἐγένετο φω-
νὴ ἐν τῷ προφητεῦσαί με· καὶ ἰδοὺ σεισμός· καὶ
προσήγαγε τὰ ὀστᾶ ὀστοῦν πρὸς τὴν ἁρμονίαν
αὐτοῦ. καὶ εἶδον καὶ ἰδοὺ ἐπ' αὐτὰ νεῦρα καὶ σάρκες
ἐφύοντο· καὶ ἀνέβαινεν ἐπ' αὐτὰ δέρμα ἐπάνω·
καὶ πνεῦμα οὐκ ἦν ἐν αὐτοῖς. καὶ εἶπε πρός με· προ-
φήτευσον υἱὲ ἀνθρώπου· προφήτευσον ἐπὶ τὸ πνεῦμα· καὶ
εἰπὸν τῷ πνεύματι· τάδε λέγει κύριος κύριος· ἐκ τῶν τεσσά-
ρων ἀνέμων ἐλθὲ καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς
τούτους· καὶ ζησάτωσαν. καὶ ἐπροφήτευσα καθότι
ἐνετείλατό μοι· καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα καὶ
ἔζησαν· καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν· συναγω-
γὴ πολλὴ σφόδρα σφόδρα. καὶ ἐλάλησε κύριος πρὸς
με λέγων· υἱὲ ἀνθρώπου· τὰ ὀστᾶ ταῦτα· πᾶς οἶκος
Ἰσραήλ ἐστιν· αὐτοὶ λέγουσι· ξηρὰ γέγονε τὰ ὀστᾶ ἡ-
μῶν· ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν· διαπεφωνήκαμεν.
διὰ τοῦτο προφήτευσον καὶ εἰπὸν πρὸς αὐτούς· τά-
δε λέγει κύριος κύριος· ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν.
καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν· καὶ εἰ-
σάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραήλ· καὶ γνώσεσθε ὅτι ἐ-
γώ εἰμι κύριος· ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν,
ἐν τῷ ἀναγαγεῖν ὑμᾶς ἐκ τῶν τάφων ὑμῶν λαός μου·
καὶ δώσω τὸ πνεῦμά μου ἐφ' ὑμᾶς καὶ ζήσεσθε· καὶ θή-
σομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν· καὶ γνώσεσθε ὅτι
ἐγὼ κύριος· ἐλάλησα καὶ ποιήσω· λέγει κύριος κύριος. καὶ ἐ-
γένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου· λάβε σεαυ-
τῷ ῥάβδον· καὶ γράψον ἐπ' αὐτὴν τὸν Ἰούδαν καὶ
τοὺς υἱοὺς Ἰσραὴλ τοὺς προσκειμένους πρὸς αὐτόν·
καὶ ῥάβδον δευτέραν λήψῃ σεαυτῷ· καὶ γράψεις

Historia Susanna. Ant. lib. 10. cap. 13.

Δανιηλ:-

Ιεζεκιηλ:-

Δεκατεσσαρων μεν ετων ουσης μου, ετους τριακοστου μετα την καταλυσιν της πολεως, εν Βαβυλωνι εγω Δανιηλ ωφθην εν ονειρασιν της νυκτος. και ιδου οι τεσσαρες ανεμοι του ουρανου ηρχοντο και εκυκων την θαλασσαν την μεγαλην. και τεσσαρα θηρια μεγαλα ανεβαινον εκ της θαλασσης, διαφορα αλληλων. το πρωτον ως λεαινα, και πτερυγας εχουσα ως αετου. εθεωρουν εως αι πτερυγες αυτης εξετιλησαν, και ανηρθη απο της γης, και επι δυο ποδας ανθρωπου εστη, και καρδια ανθρωπου εδοθη αυτω. και ιδου ετερον θηριον, δευτερον, ομοιον αρκτου, και εστη επι το ενα μερος, και τρεις πλευραι ησαν εν τω στοματι αυτου μεταξυ των οδοντων αυτου, και ουτως ελεγον προς αυτο· αναστηθι, φαγε κρεα πολλα. μετα ταυτα εθεωρουν, και ιδου ετερον ως παρδαλις, και πτερυγες τεσσαρες πτερυγων πετεινου επι των νωτων αυτου, και τεσσαρες κεφαλαι ησαν εν τω θηριω, και εξουσια εδοθη αυτω. μετα ταυτα εθεωρουν εν οραματι της νυκτος, και ιδου θηριον τεταρτον φοβερον και εκπληκτικον και ισχυρον σφοδρα· και δοντες σιδηροι μεγαλοι αυτου· εσθιον και συνετριβον, και το καταλοιπον εν τοις ποσιν αυτου επατει· και αυτο διαφορον ην απο παντων των θηριων των εμπροσθεν αυτου, και κερατα δεκα εσχεν. εθεωρουν τα κερατα, και ιδου κερας αλλο μικρον ανεβαινεν εν μεσω αυτων, και τρια των πρωτων κερατων εξερριζωθη απο προσωπου αυτου· και ιδου οφθαλμοι ως οφθαλμοι ανθρωπου εν τω κερατι τουτω, και στομα λαλουν μεγαλα. εθεωρουν εως θρονοι ετεθησαν, και παλαιος ημερων εκαθητο· το ενδυμα αυτου λευκον ως χιων, και η τριχωσις της κεφαλης αυτου καθαρα ως εριον· ο θρονος αυτου φλοξ πυρος, οι τροχοι αυτου πυρ καιομενον. ποταμος πυρος εξεπορευετο και εξηρχετο απο προσωπου αυτου· χιλιαδες χιλιαδων ελειτουργουν αυτω, και μυριαδες μυριαδων παρειστηκεισαν ενωπιον αυτου· το κριτηριον εκαθισε, και βιβλια ηνεωχθησαν. εθεωρουν τοτε απο της φωνης των μεγαλων λογων των κερατων, ων το θηριον εθεωρουν, και ιδου απεκτανθη το θηριον, και απωλετο το σωμα αυτου, και εδοθη εις καυσιν πυρος. και τα λοιπα θηρια μετεστησαν την εξουσιαν, και μηκος ζωης εδοθη αυτοις εως καιρου και χρονου. εθεωρουν εν οραματι της νυκτος, και ιδου μετα των νεφελων του ουρανου ως υιος ανθρωπου ηρχετο, και εως του παλαιου ημερων παρεγενετο, και ενωπιον αυτου προσηχθησαν· και αυτος εδωκεν αυτω εξουσιαν και δοξαν και βασιλειαν, και παντες οι λαοι, φυλαι και γλωσσαι αυτω λατρευσουσιν· η εξουσια αυτου εξουσια αιωνιος, ητις ου μη παρελευσεται, και η βασιλεια αυτου ουκ εστιν ητις μη διαφθαρησεται. εγω Δανιηλ εν τω σωματι μου εν τη καρδια μου ενεθυμουμην, και οι οραματισμοι της κεφαλης μου εταραττον με· προσελθων δε τινι των παρεστηκοτων ηρωτησα παρ' αυτου την αληθειαν περι παντων τουτων. και ειπεν μοι, και την κρισιν των λογων εγνωρισεν μοι· τα θηρια τα μεγαλα τα τεσσαρα, τεσσαρες βασιλεις εισιν οι εξαναστησονται εκ της γης· και παραλημψονται την βασιλειαν οι αγιοι του υψιστου, και κατασχησουσιν την βασιλειαν εως αιωνος και εως αιωνος των αιωνων. τοτε ηθελησα επιγνωναι την αληθειαν περι του θηριου του τεταρτου, ο διαφορον ην απο παντων των θηριων των εμπροσθεν αυτου, φοβερον σφοδρα, ου οι οδοντες σιδηροι και οι ονυχες χαλκοι αυτου· εσθιον και συνετριβον, και το καταλοιπον εν τοις ποσιν αυτου επατει· και περι των δεκα κερατων των εν τη κεφαλη αυτου, και περι του αλλου του ανεβη, και προσεπεσον τρια, και το κερας εκεινο ειχεν οφθαλμους, και στομα λαλουν μεγαλα, και η οψις αυτου μειζων των συντροφων αυτου· εθεωρουν, και το κερας εκεινο εποιει πολεμον μετα των αγιων, και ισχυεν προς αυτους, εως ου παλαιος ημερων παρεγενετο, και κρισις εδοθη τοις αγιοις του υψιστου, και καιρος παρεγενετο του τους αγιους κατασχειν την βασιλειαν. και ουτως ειπεν· το θηριον το τεταρτον, βασιλεια τετραρτη εσται επι της γης, ητις διαφορα εσται παντων των βασιλειων, και παντα τα εθνη καταφαγεται και καταπατησει και συνθλασει αυτα· και τα δεκα κερατα, δεκα βασιλεις εξ αυτης εξαναστησονται· και μετ' αυτους αναστησεται αλλος, και αυτος διαφορος εσται των εμπροσθεν, και τρεις βασιλεις ταπεινωσει· και λαλησει ρηματα προς τον υψιστον, και τους αγιους του υψιστου συντριψει· και ενθυμηθησεται καιρους και νομους, και παραδοθησονται εν τη χειρι αυτου εως καιρου και καιρων και ημισους καιρου· και το κριτηριον εκαθισε, και την εξουσιαν αυτου αφελουσιν του αφανισαι και απολεσαι εως τελους· και η βασιλεια και η εξουσια και η μεγαλωσυνη της βασιλειας της υποκατω παντος του ουρανου δοθησεται τω λαω των αγιων του υψιστου· η βασιλεια αυτου βασιλεια αιωνιος, και παντες οι αρχοντες αυτω λατρευσουσιν και υπακουσονται. εως ωδε το τελος του λογου. εγω Δανιηλ πολλα ενεθυμουμην, και η συγχυσις του προσωπου μου ηλλοιωτο· και τον λογον εν τη καρδια μου συνετηρουν.

Cap. 3.

Ὁ pacic : ϛ:

Operation 1: $\frac{1}{4}$ operation is:-

Osee.

Michaelis.

Sophonias

Aggeus

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible] ἀπεκρίθησαν·

ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει·

Πάλιν λαλήσω· πλήρης γάρ εἰμι ῥημάτων· ὀλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός μου· ἡ δὲ γαστήρ μου ὥσπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος· ἢ ὥσπερ φυσητὴρ χαλκέως ἐρρηγώς· λαλήσω ἵνα ἀναπαύσωμαι ἀνοίξας τὰ χείλη· ἄνθρωπον γὰρ οὐ μὴ αἰσχυνθῶ· ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ· οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον· εἰ δὲ μὴ καὶ ἐμὲ σῆτες ἔδονται· οὐ μὴν δὲ ἀλλὰ ἄκουσον ἰὼβ τὰ ῥήματά μου καὶ λαλιὰν ἐνωτίζου μου· ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησεν ἡ γλῶσσά μου· καθαρά μου ἡ καρδία ῥήμασι· σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει· πνεῦμα θεῖον τὸ ποιῆσάν με· πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με· ἐὰν δύνῃ δός μοι ἀπόκρισιν πρὸς ταῦτα· ὑπόμεινον· στῆθι κατ' ἐμὲ καὶ ἐγὼ κατὰ σέ· ἐκ πηλοῦ διήρτισαι σὺ ὡς καὶ ἐγώ· ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα· οὐχ ὁ φόβος μου σε στροβήσει· οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί· πλὴν εἶπας ἐν ὠσίν μου· φωνὴν ῥημάτων σου ἀκήκοα· διότι λέγεις καθαρός εἰμι οὐχ ἁμαρτών· ἄμεμπτός εἰμι· οὐ γὰρ ἠνόμησα· μέμψιν δὲ κατ' ἐμοῦ εὗρεν· ἥγηται δέ με ὥσπερ ὑπεναντίον· ἔθετο δὲ ἐν ξύλῳ τὸν πόδα μου· ἐφύλαξεν δέ μου πάσας τὰς ὁδούς· πῶς γὰρ λέγεις· δίκαιός εἰμι καὶ οὐκ ἐπακήκοέν μου· αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν· λέγεις δὲ διὰ τί τῆς δίκης μου οὐκ ἐπακήκοεν πᾶν ῥῆμα· ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ κύριος· ἐν δὲ τῷ δευτέρῳ ἐνύπνιον· ἢ ἐν μελέτῃ νυκτερινῇ ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ' ἀνθρώπους· ἐπὶ νυσταγμάτων ἐπὶ κοίτης· τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων· ἐν εἴδεσι φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν· ἀποστρέψαι ἄνθρωπον ἀπὸ ἀδικίας· τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐρρύσατο· ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου· καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ· πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐν μαλακίᾳ ἐπὶ κοίτης· καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησεν· πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι· καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμήσει· ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες· καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά· ἤγγισεν δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ· ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ· ἐὰν ὦσι χίλιοι ἄγγελοι θανατηφόροι· εἷς αὐτῶν οὐ μὴ τρώσῃ αὐτόν· ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι πρὸς κύριον· ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν· τὴν δὲ ἄνοιαν αὐτοῦ δείξῃ· ἀνθέξεται τοῦ μὴ πεσεῖν εἰς θάνατον· ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου· τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ· ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας ὥσπερ νηπίου· ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις· εὐξάμενος δὲ πρὸς κύριον καὶ δεκτὰ αὐτῷ ἔσται· εἰσελεύσεται προσώπῳ ἱλαρῷ σὺν ἐξηγορίᾳ· ἀποδώσει δὲ ἀνθρώποις δικαιοσύνην· εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ λέγων· οἷα συνετέλουν· καὶ οὐκ ἄξια ἤτασέν με ὧν ἥμαρτον· σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν· καὶ ἡ ζωή μου φῶς ὄψεται· ἰδοὺ ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρὸς ὁδοὺς τρεῖς μετὰ ἀνδρός· ἀλλ' ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου· ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν· ἐνωτίζου ἰὼβ καὶ ἄκουέ μου· κώφευσον καὶ ἐγώ εἰμι λαλήσω· εἰ εἰσὶ λόγοι ἀποκρίθητί μοι· λάλησον· θέλω γὰρ δικαιωθῆναί σε· εἰ μὴ σὺ ἄκουσόν μου· κώφευσον καὶ διδάξω σε σοφίαν·

ὑπολαβὼν δὲ Ἐλιοὺς λέγει·

Ἀκούσατέ μου σοφοί· ἐπιστάμενοι ἐνωτίζεσθε καλόν· ὅτι οὓς λόγους δοκιμάζει· καὶ λάρυγξ γεύεται βρῶσιν· κρίσιν ἑλώμεθα ἑαυτοῖς· γνῶμεν ἀνὰ μέσον ἑαυτῶν ὅ τι καλόν· ὅτι εἴρηκεν ἰὼβ· ὅτι δίκαιός εἰμι· ὁ κύριος ἀπήλλαξέν μου τὸ κρίμα· ἐψεύσατο δὲ τῷ κρίματί μου· βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας· τίς ἀνὴρ ὥσπερ ἰὼβ πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ· οὐχ ἁμαρτὼν οὐδὲ ἀσεβήσας· ἢ ὁδοῦ κοινωνήσας μετὰ τῶν ποιούντων τὰ ἄνομα· τοῦ πορευθῆναι μετὰ τῶν ἀσεβῶν· μὴ γὰρ εἴπῃς ὅτι οὐκ ἔσται ἐπισκοπὴ ἀνδρός· καὶ ἐπισκοπὴ αὐτῷ παρὰ κυρίου· διό, συνετοὶ καρδίας ἀκούσατέ μου· μή μοι εἴη ἔναντι κυρίου ἀσεβῆσαι· καὶ ἔναντι παντοκράτορος ταράξαι τὸ δίκαιον· ἀλλὰ ἀποδιδοὺς ἀνθρώποις καθὰ ποιεῖ ἕκαστος αὐτῶν· καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν· οἴει δὲ τὸν κύριον ἄτοπα ποιήσειν· ἢ ὁ παντοκράτωρ ταράξει κρίσιν· ὃς ἐποίησε τὴν γῆν· τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ' οὐρανὸν καὶ τὰ ἐνόντα πάντα· εἰ γὰρ βούλοιτο συνέχειν· καὶ τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν· τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν· πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται ὅθεν καὶ ἐπλάσθη· εἰ δὲ μὴ νουθετῇ ἄκουε ταῦτα· ἐνωτίζου φωνὴν ῥημάτων· ἴδε σὺ τὸν μισοῦντα ἄνομα καὶ τὸν ὀλλύντα τοὺς πονηρούς· ὄντα αἰώνιον δίκαιον· ἀσεβὴς ὁ λέγων βασιλεῖ παρανομεῖς· ἀσεβέστατε τοῖς ἄρχουσιν· ὃς οὐκ ἐπῃσχύνθη πρόσωπον ἐντίμου· οὐδὲ οἶδεν τιμ[illegible]

αὐτοῦ ὄνομα Ἰώβαβ· λαβὼν δὲ γυναῖκα Ἀράβισσαν γεννᾷ υἱὸν ᾧ ὄνομα Ἐννών· ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρὲ τῶν Ἡσαῦ υἱῶν υἱός, μητρὸς δὲ Βοσόρρας, ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ· καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδώμ, ἧς καὶ αὐτὸς ἦρξεν χώρας· πρῶτος Βαλὰκ ὁ τοῦ Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβά· μετὰ δὲ Βαλὰκ Ἰωβὰβ ὁ καλούμενος Ἰώβ· μετὰ δὲ τοῦτον Ἀσὼμ ὁ ὑπάρχων ἡγεμὼν ἐκ τῆς Θαιμανίτιδος χώρας· μετὰ δὲ τοῦτον Ἀδὰδ υἱὸς Βαρὰδ ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθθαίμ. οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι· Ἐλιφὰζ τῶν Ἡσαῦ υἱῶν, Θαιμανῶν βασιλεύς, Βαλδὰδ ὁ Σαυχαίων τύραννος, Σωφὰρ ὁ Μιναίων βασιλεύς. τέλος Ἰώβ.

Proverbia

προοίμιον παροιμιῶν Σολομῶντος.

Παροιμίαι Σολομῶντος υἱοῦ Δαυίδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραήλ· γνῶναι σοφίαν καὶ παιδείαν νοῆσαί τε λόγους φρονήσεως δέξασθαί τε στροφὰς λόγων νοῆσαί τε δικαιοσύνην ἀληθῆ καὶ κρίμα κατευθύνειν, ἵνα δῷ ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ ἔννοιαν· τῶνδε γὰρ ἀκούσας σοφὸς σοφώτερος ἔσται, ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται, νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον ῥήσεις τε σοφῶν καὶ αἰνίγματα. ἀρχὴ σοφίας φόβος κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν· εὐσέβεια δὲ εἰς θεὸν ἀρχὴ αἰσθήσεως, σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν. ἄκουε, υἱέ, παιδείαν πατρός σου καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ. υἱέ, μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ βουληθῇς, ἐὰν παρακαλέσωσί σε λέγοντες· ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, καταπίωμεν δὲ αὐτὸν ὥσπερ ᾅδης ζῶντα καὶ ἄρωμεν αὐτοῦ τὴν μνήμην ἐκ γῆς· τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα, πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων· τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν, κοινὸν δὲ βαλλάντιον κτησώμεθα πάντες, καὶ μαρσίππιον ἓν γενηθήτω ἡμῖν· μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν, ἔκκλινον δὲ τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν· οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν καὶ ταχινοὶ τοῦ ἐκχέαι αἷμα· οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς· αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά, ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή. αὗται αἱ ὁδοί εἰσιν πάντων τῶν συντελούντων τὰ ἄνομα· τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται. σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει, ἐπ' ἄκρων δὲ τειχέων κηρύσσεται, ἐπὶ δὲ πύλαις δυναστῶν παρεδρεύει, ἐπὶ δὲ πύλαις πόλεως θαρροῦσα λέγει· ὅσον ἂν χρόνον ἄκακοι ἔχωνται τῆς δικαιοσύνης, οὐκ αἰσχυνθήσονται· οἱ δὲ ἄφρονες τῆς ὕβρεως ὄντες ἐπιθυμηταί, ἀσεβεῖς γενόμενοι ἐμίσησαν αἴσθησιν καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις. ἰδοὺ προήσομαι ὑμῖν ἐμῆς πνοῆς ῥῆσιν, διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον. ἐπειδὴ ἐκάλουν καὶ οὐχ ὑπηκούσατε καὶ ἐξέτεινον λόγους καὶ οὐ προσείχετε, ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλάς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις ἠπειθήσατε, τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι, καταχαροῦμαι δέ, ἡνίκα ἂν ἔρχηται ὑμῖν ὄλεθρος, καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος, ἡ δὲ καταστροφὴ ὁμοίως καταιγίδι παρῇ, καὶ ὅταν ἔρχηται ὑμῖν θλῖψις καὶ πολιορκία. ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ εἰσακούσομαι ὑμῶν· ζητήσουσίν με κακοὶ καὶ οὐχ εὑρήσουσιν. ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ φόβον τοῦ κυρίου οὐ προείλαντο, οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς, ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους. τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρποὺς καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται· ἀνθ' ὧν γὰρ ἠδίκουν νηπίους, φονευθήσονται, καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ. ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ. υἱέ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ, ὑπακούσεται σοφίας τὸ οὖς σου, καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν, παραβαλεῖς δὲ αὐτὴν ἐπὶ νουθέτησιν τῷ υἱῷ σου· ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ καὶ τῇ συνέσει δῷς φωνήν σου, καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον καὶ ὡς θησαυροὺς ἐξερευνήσῃς αὐτήν, τότε συνήσεις φόβον κυρίου καὶ ἐπίγνωσιν θεοῦ εὑρήσεις. ὅτι κύριος δίδωσιν σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις· καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν, ὑπερασπιεῖ τὴν πορείαν αὐτῶν τοῦ φυλάξαι ὁδοὺς δικαιωμάτων καὶ ὁδὸν εὐλαβουμένων αὐτὸν διαφυλάξει. τότε συνήσεις δικαιοσύνην καὶ κρίμα καὶ κατορθώσεις πάντας ἄξονας ἀγαθούς. ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς σὴν διάνοιαν, ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ, βουλὴ καλὴ φυλάξει σε, ἔννοια δὲ ὁσία τηρήσει σε, ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν. ὦ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας τοῦ πορεύεσθαι ἐν ὁδοῖς σκότους

Ecclesiastes

Μὴ ἐπιθύμει τέκνων πλῆθος ἀχρήστων, μηδὲ εὐ-
φραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν. ἐὰν πληθύνωσι, μὴ εὐ-
φραίνου ἐπ' αὐτοῖς, εἰ μὴ ἔστι φόβος κυρίου μετ' αὐ-
τῶν. μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν, καὶ μὴ ἔπεχε
ἐπὶ τὸ πλῆθος αὐτῶν· κρείσσων γὰρ εἷς ἢ χί-
λιοι· καὶ ἀποθανεῖν ἄτεκνον ἢ ἔχειν τέκνα ἀσε-
βεῖς. ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται
πόλις· φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται. πολλὰ
τοιαῦτα ἑώρακεν ὁ ὀφθαλμός μου, καὶ ἰσχυ-
ρότερα τούτων ἀκήκοεν τὸ οὖς μου. ἐν συναγω-
γῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, καὶ ἐν ἔθνει
ἀπειθεῖ ἐξεκαύθη ὀργή. οὐκ ἐξιλάσατο περὶ
τῶν ἀρχαίων γιγάντων, οἳ ἀπέστησαν τῇ ἰσχύϊ
αὐτῶν. οὐκ ἐφείσατο περὶ τῆς παροικίας
Λώτ, οὓς ἐβδελύξατο διὰ τὴν ὑπερηφανίαν
αὐτῶν. οὐκ ἠλέησεν ἔθνος ἀπωλείας, τοὺς
ἐξηρμένους ἐν ἁμαρτίαις αὐτῶν· καὶ οὕτως
ἑξακοσίας χιλιάδας πεζῶν τοὺς ἐξηρμένους
ἐν σκληροκαρδίᾳ αὐτῶν. κἂν ᾖ εἷς σκληροτράχη-
λος, θαυμαστὸν εἰ ἀθῳωθήσεται· ἔλεος γὰρ καὶ
ὀργὴ παρ' αὐτῷ, δυνάστης ἐξιλασμῶν καὶ ἐκχέ-
ων ὀργήν. κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕ-
τως καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ· ἄνδρα κατὰ
τὰ ἔργα αὐτοῦ κρινεῖ. οὐκ ἐκφεύξεται ἐν ἁρπά-
γματι αὐτοῦ ἁμαρτωλός, καὶ οὐ μὴ καθυστερή-
σει ὑπομονὴ εὐσεβοῦς. πάσῃ ἐλεημοσύνῃ ποιή-
σει τόπον· ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ εὑρή-
σει. μὴ εἴπῃς ὅτι ἀπὸ κυρίου κρυβήσομαι· καὶ ἐξ ὕ-
ψους τίς μου μνησθήσεται; ἐν λαῷ πλείονι οὐ μὴ
μνησθῶ· τίς γάρ μου ἡ ψυχὴ ἐν ἀμετρήτῳ κτί-
σει; ἰδοὺ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἄβυσσος καὶ
γῆ ἐν τῇ ἐπισκοπῇ αὐτοῦ σαλευθήσονται. ἅ-
μα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς γῆς ἐν τῷ ἐπιβλέ-
ψαι εἰς αὐτὰ τρόμῳ συσσείονται. καὶ ἐπ' αὐτοῖς
οὐ διανοηθήσεται καρδία· καὶ τὰς ὁδοὺς αὐτοῦ
τίς ἐνθυμηθήσεται; καὶ καταιγὶς ἣν οὐκ ὄψεται
ἄνθρωπος· τὰ δὲ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀπο-
κρύφοις. ἔργα δικαιοσύνης τίς ἀναγγελεῖ;
ἢ τίς ὑπομενεῖ; μακρὰν γὰρ ἡ διαθήκη. ἐλαττού-
μενος καρδίᾳ διανοεῖται ταῦτα· καὶ ἀνὴρ ἄφρων
καὶ πλανώμενος διανοεῖται μωρά. ἄκουσόν μου τέ-
κνον, καὶ μάθε ἐπιστήμην, καὶ ἐπὶ τῶν λόγων
μου πρόσεχε τῇ καρδίᾳ σου. ἐκφανῶ ἐν σταθ-
μῷ παιδείαν, καὶ ἐν ἀκριβείᾳ ἀπαγγελῶ ἐπι-
στήμην. ἐν κρίσει κυρίου τὰ ἔργα αὐτοῦ ἀπ' ἀρ-
χῆς, καὶ ἀπὸ ποιήσεως αὐτῶν διέστειλε με-
ρίδας αὐτῶν. ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔρ-
γα αὐτοῦ, καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς
αὐτῶν· οὔτε ἐπείνασαν οὔτε ἐκοπίασαν,
καὶ οὐκ ἐξέλιπον ἀπὸ τῶν ἔργων αὐτῶν. ἕκα-
στος τὸν πλησίον αὐτοῦ οὐκ ἐξέθλιψε, καὶ ἕως
αἰῶνος οὐκ ἀπειθήσουσι τοῦ ῥήματος

αὐτοῦ. καὶ μετὰ ταῦτα κύριος εἰς τὴν γῆν ἐπέ-
βλεψε, καὶ ἐνέπλησεν αὐτὴν τῶν ἀγαθῶν
αὐτοῦ. ψυχῇ παντὸς ζώου ἐκάλυψε τὸ πρόσ-
ωπον αὐτῆς, καὶ εἰς αὐτὴν ἡ ἀποστροφὴ αὐ-
τοῦ. κύριος ἔκτισεν ἐκ γῆς ἄνθρωπον, καὶ πάλιν ἀπέ-
στρεψεν αὐτὸν εἰς αὐτήν. ἡμέρας ἀριθμοῦ
καὶ καιρὸν ἔδωκεν αὐτοῖς, καὶ ἔδωκεν αὐ-
τοῖς ἐξουσίαν τῶν ἐπ' αὐτῆς. καθ' ἑαυτοὺς ἐνέ-
δυσεν αὐτοὺς ἰσχύν, καὶ κατ' εἰκόνα αὐτοῦ
ἐποίησεν αὐτούς. ἔθηκε τὸν φόβον αὐτοῦ
ἐπὶ πάσης σαρκός, καὶ κατακυριεύειν θηρίων
καὶ πετεινῶν. διαβούλιον καὶ γλῶσσαν καὶ ὀφθαλμούς,
ὦτα καὶ καρδίαν ἔδωκε διανοεῖσθαι αὐτοῖς.
ἐπιστήμην συνέσεως ἐνέπλησεν αὐτούς, καὶ
ἀγαθὰ καὶ κακὰ ὑπέδειξεν αὐτοῖς. ἔθηκε
τὸν ὀφθαλμὸν αὐτοῦ ἐπὶ τὰς καρδίας αὐτῶν
δεῖξαι αὐτοῖς τὸ μεγαλεῖον τῶν ἔργων αὐτοῦ. προσ-
έθηκεν αὐτοῖς ἐπιστήμην, καὶ νόμον ζωῆς
ἐκληροδότησεν αὐτοῖς. διαθήκην αἰῶνος ἔστησε
μετ' αὐτῶν, καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐ-
τοῖς. μεγαλεῖον δόξης εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν,
καὶ δόξαν φωνῆς αὐτοῦ ἤκουσε τὸ οὖς αὐτῶν· καὶ
εἶπεν αὐτοῖς· προσέχετε ἀπὸ παντὸς ἀδί-
κου. καὶ ἐνετείλατο αὐτοῖς ἑκάστῳ περὶ τοῦ
πλησίον. αἱ ὁδοὶ αὐτῶν ἐναντίον αὐτοῦ διὰ
παντός· οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐ-
τοῦ. ἑκάστῳ ἔθνει κατέστησεν ἡγούμενον· καὶ μερὶς
κυρίου Ἰσραήλ ἐστιν. πάντα τὰ ἔργα αὐτῶν ὡς ὁ ἥλιος
ἐναντίον αὐτοῦ· οἱ ὀφθαλμοὶ αὐτοῦ ἐνδελεχεῖς
ἐπὶ τὰς ὁδοὺς αὐτῶν. οὐκ ἐκρύβησαν αἱ ἀδι-
κίαι αὐτῶν ἀπ' αὐτοῦ· καὶ πᾶσαι αἱ ἁμαρτί-
αι αὐτῶν ἔναντι κυρίου. ἐλεημοσύνη ἀνδρὸς ὡς σ-
φραγὶς μετ' αὐτοῦ· καὶ χάριν ἀνθρώπου ὡς κόρην συν-
τηρήσει. μετὰ ταῦτα ἐξαναστήσεται καὶ ἀντα-
ποδώσει αὐτοῖς· καὶ τὸ ἀνταπόδομα αὐτῶν
εἰς κεφαλὴν αὐτῶν ἀποδώσει. πλὴν μετανο-
οῦσιν ἔδωκεν ἐπάνοδον, καὶ παρεκάλε-
σεν ἐκλείποντας ὑπομονήν. ἐπίστρεφε ἐπὶ
κύριον καὶ ἀπόλειπε ἁμαρτίας· δεήθητι κατὰ
πρόσωπον καὶ σμίκρυνον πρόσκομμα. ἐπάνα-
γε ἐπὶ ὕψιστον καὶ ἀπόστρεφε ἀπὸ ἀδι-
κίας· καὶ σφόδρα μίσησον βδέλυγμα. [illegible]
[illegible] ἐν ᾅδου τίς αἰνέσει [illegible]
ἀνθομολόγησιν· ἀπὸ νεκροῦ [illegible]
ἀπόλλυται ἐξομολόγησις· ζῶν καὶ [illegible]
[illegible] τὸν κύριον. ὡς μεγάλη ἡ ἐλεημοσύνη [illegible]
καὶ ἐξιλασμὸς τοῖς ἐπιστρέφουσιν [illegible]
γὰρ δύναται πάντα [illegible]
[illegible]
[illegible]
[illegible]
αὐτοῦ [illegible]

πολλοὶ οὖν χάριν πονηρίας ἀπέστρεψαν, ἀποστερηθῆναι δωρεὰν ηὐλαβήθησαν. πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον, καὶ ἐπ' ἐλεημοσύνῃ μὴ παρελκύσῃς αὐτόν. χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος, καὶ κατὰ τὴν ἔνδειαν αὐτοῦ μὴ ἀποστρέψῃς αὐτὸν κενόν. ἀπόλεσον ἀργύριον δι' ἀδελφὸν καὶ φίλον, καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον εἰς ἀπώλειαν. θὲς τὸν θησαυρόν σου κατ' ἐντολὰς ὑψίστου, καὶ λυσιτελήσει σοι μᾶλλον ἢ τὸ χρυσίον. σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμιείοις σου, καὶ αὕτη ἐξελεῖταί σε ἐκ πάσης κακώσεως· ὑπὲρ ἀσπίδα κράτους καὶ ὑπὲρ δόρυ ὁλκῆς κατέναντι ἐχθροῦ πολεμήσει ὑπὲρ σοῦ. ἀνὴρ ἀγαθὸς ἐγγυήσεται τὸν πλησίον, καὶ ὁ ἀπολωλεκὼς αἰσχύνην ἐγκαταλείψει αὐτόν. χάριτας ἐγγύου μὴ ἐπιλάθῃ· ἔδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σοῦ. ἀγαθὰ ἐγγύου ἀνατρέψει ἁμαρτωλός, καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον. ἐγγύη πολλοὺς ἀπώλεσε κατευθύνοντας, καὶ ἐσάλευσεν αὐτοὺς ὡς κῦμα θαλάσσης· ἄνδρας δυνατοὺς ἀπῴκισε, καὶ ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις. ἁμαρτωλὸς ἐμπεσὼν εἰς ἐγγύην καὶ διώκων ἐργολαβίας ἐμπεσεῖται εἰς κρίσεις. ἀντιλαβοῦ τοῦ πλησίον κατὰ δύναμίν σου, καὶ πρόσεχε σεαυτῷ μὴ ἐμπέσῃς. ἀρχὴ ζωῆς ὕδωρ καὶ ἄρτος καὶ ἱμάτιον, καὶ οἶκος καλύπτων ἀσχημοσύνην. κρείσσων βίος πτωχοῦ ὑπὸ σκέπην δοκῶν ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις. ἐπὶ μικρῷ καὶ μεγάλῳ εὐδοκίαν ἔχε. ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν, καὶ οὗ παροικήσεις, οὐκ ἀνοίξεις στόμα. ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα, καὶ πρὸς ἐπὶ τούτοις πικρὰ ἀκούσῃ· πάρελθε, πάροικε, κόσμησον τράπεζαν, καὶ εἴ τι ἐν τῇ χειρί σου, ψώμισόν με. ἔξελθε, πάροικε, ἀπὸ προσώπου δόξης· ἐπεξένωταί μοι ὁ ἀδελφός, χρεία τῆς οἰκίας. βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν, ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ :-

Περὶ τέκνων·

Ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ ἐνδελεχήσει μάστιγας αὐτῷ, ἵνα εὐφρανθῇ ἐπ' ἐσχάτων αὐτοῦ. ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ ὀνήσεται ἐπ' αὐτῷ, καὶ ἀνὰ μέσον γνωρίμων ἐπ' αὐτῷ καυχήσεται. ὁ διδάσκων τὸν υἱὸν αὐτοῦ παραζηλώσει τὸν ἐχθρόν, καὶ ἔναντι φίλων ἐπ' αὐτῷ ἀγαλλιάσεται. ἐτελεύτησεν αὐτοῦ ὁ πατήρ, καὶ ὡς οὐκ ἀπέθανεν· ὅμοιον γὰρ αὐτῷ κατέλιπε μετ' αὐτόν. ἐν τῇ ζωῇ αὐτοῦ εἶδε καὶ εὐφράνθη, καὶ ἐν τῇ τελευτῇ αὐτοῦ οὐκ ἐλυπήθη. ἐναντίον ἐχθρῶν κατέλιπεν ἔκδικον, καὶ τοῖς φίλοις αὐτοῦ ἀνταποδιδόντα χάριν. περιψύχων υἱὸν καταδεσμεύσει τραύματα αὐτοῦ, καὶ ἐπὶ πάσῃ βοῇ ταραχθήσεται σπλάγχνα αὐτοῦ. ἵππος ἀδάμαστος ἐκβαίνει σκληρός, καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής. τιθήνησον τέκνον, καὶ ἐκθαμβήσει σε· σύμπαιξον αὐτῷ, καὶ λυπήσει σε. μὴ συγγελάσῃς αὐτῷ, ἵνα μὴ συνοδυνηθῇς, καὶ ἐπ' ἐσχάτων γομφιάσεις τοὺς ὀδόντας σου. μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεότητι· θλάσον τὰς πλευρὰς αὐτοῦ ὡς ἔστι νήπιος, μήποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι. παίδευσον τὸν υἱόν σου, καὶ ἐργάσαι ἐν αὐτῷ, ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ αὐτοῦ προσκόψῃς :-

Περὶ ὑγιείας·

Κρείσσων πτωχὸς ὑγιὴς καὶ ἰσχύων τῇ ἕξει, ἢ πλούσιος μεμαστιγωμένος εἰς σῶμα αὐτοῦ. ὑγίεια καὶ εὐεξία βελτίων παντὸς χρυσίου, καὶ σῶμα εὔρωστον ἢ ὄλβος ἀμέτρητος. οὐκ ἔστι πλοῦτος βελτίων ὑγιείας σώματος, καὶ οὐκ ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας. κρείσσων θάνατος ὑπὲρ ζωὴν πικρὰν ἢ ἀρρώστημα ἔμμονον :-

Περὶ βρωμάτων·

Ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ, θέματα βρωμάτων παρακείμενα ἐπὶ τάφῳ. τί συμφέρει κάρπωσις εἰδώλῳ; οὔτε γὰρ ἔδεται οὔτε μὴ ὀσφρανθῇ· οὕτως ὁ ἐκδιωκόμενος ὑπὸ κυρίου, βλέπων ἐν ὀφθαλμοῖς καὶ στενάζων, ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον καὶ στενάζων· οὕτως ὁ ποιῶν ἐν βίᾳ κρίματα. μὴ δῷς εἰς λύπην τὴν ψυχήν σου, καὶ μὴ θλίψῃς σεαυτὸν ἐν βουλῇ σου. εὐφροσύνη καρδίας ζωὴ ἀνθρώπου, καὶ ἀγαλλίαμα ἀνδρὸς μακροημέρευσις. ἀπάτα τὴν ψυχήν σου, καὶ παρακάλει τὴν καρδίαν σου, καὶ λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ· πολλοὺς γὰρ ἀπώλεσεν ἡ λύπη, καὶ οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ. ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας, καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα. ὡς καλαμώμενος ὀπίσω τρυγητῶν, ἐν εὐλογίᾳ κυρίου ἔφθασα, καὶ ὡς τρυγῶν ἐπλήρωσα ληνόν. κατανοήσατε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, ἀλλὰ πᾶσι τοῖς ζητοῦσι παιδείαν. ἀκούσατέ μου μεγιστᾶνες λαοῦ, καὶ οἱ ἡγούμενοι λαοῦ ἐκκλησίας ἐνωτίσασθε. υἱῷ καὶ γυναικί, ἀδελφῷ καὶ φίλῳ μὴ δῷς ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σου· καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματά σου, ἵνα μὴ μεταμεληθεὶς δέῃ περὶ αὐτῶν. ἕως ἔτι ζῇς καὶ πνοὴ ἐν σοί, μὴ ἀλλάξῃς σεαυτὸν ἐν πάσῃ σαρκί. κρεῖσσον γάρ ἐστι τὰ τέκνα δεηθῆναί σου, ἢ σὲ ἐμβλέπειν εἰς χεῖρας υἱῶν σου. ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ὑπεράγων· μὴ δῷς μῶμον ἐν τῇ δόξῃ σου. ἐν ἡμέρᾳ συντελείας ἡμερῶν ζωῆς σου, καὶ ἐν καιρῷ τε-

μὴ [illegible] ἐζήτησα σοφίαν προ-
φανῶς ἐν προσευχῇ μου· ἔναντι ναοῦ ἠξίουν
περὶ αὐτῆς καὶ ἕως ἐσχάτων ἐκζητήσω αὐ-
τήν· ἐξ ἄνθους ὡς περκαζούσης σταφυλῆς εὐ-
φράνθη ἡ καρδία μου ἐν αὐτῇ· ἐπέβη ὁ πούς
μου ἐν εὐθύτητι· ἐκ νεότητός μου ἴχνευον
αὐτήν· ἔκλινα ὀλίγον τὸ οὖς μου καὶ ἐδεξά-
μην καὶ πολλὴν εὗρον ἐμαυτῷ παιδείαν·
προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ· τῷ διδόντι μοι
σοφίαν δώσω δόξαν· διενοήθην γὰρ τοῦ ποιῆ-
σαι αὐτήν· καὶ ἐζήλωσα τὸ ἀγαθὸν καὶ οὐ μὴ αἰ-
σχυνθῶ· διαμεμάχισται ἡ ψυχή μου ἐν αὐτῇ· καὶ
ἐν ποιήσει νόμου διηκριβασάμην· τὰς χεῖράς
μου ἐξεπέτασα πρὸς ὕψος· καὶ τὰ ἀγνοή-
ματα αὐτῆς ἐπένθησα· τὴν ψυχήν μου κα-
τεύθυνα εἰς αὐτήν· καὶ ἐν καθαρισμῷ εὗρον
αὐτήν· καρδίαν ἐκτησάμην μετ' αὐτῆς ἀπ' ἀρ-
χῆς· διὰ τοῦτο οὐ μὴ ἐγκαταλειφθῶ· καὶ ἡ κοι-
λία μου ἐταράχθη ἐκζητῆσαι αὐτήν· διὰ τοῦ-
το ἐκτησάμην ἀγαθὸν κτῆμα· ἔδωκε κύριος
γλῶσσάν μοι μισθόν μου· καὶ ἐν αὐτῇ αἰνέ-
σω αὐτόν· ἐγγίσατε πρός με ἀπαίδευτοι·
καὶ αὐλίσθητε ἐν οἴκῳ παιδείας· τί ὅτι
ὑστερεῖσθε ἐν τούτοις· καὶ αἱ ψυχαὶ ὑμῶν
διψῶσι σφόδρα· καὶ ἤνοιξα τὸ στόμα μου
καὶ ἐλάλησα· κτήσασθε αὐτοῖς ἄνευ ἀρ-
γυρίου· τὸν τράχηλον ὑμῶν ὑπόθετε ὑπὸ
ζυγόν· καὶ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν παιδ-
είαν· ἐγγύς ἐστιν εὑρεῖν αὐτήν· ἴδετε ἐν ὀφθαλ-
μοῖς ὑμῶν ὅτι ὀλίγον ἐκοπίασα· καὶ εὗρον
ἐμαυτῷ πολλὴν ἀνάπαυσιν· μετάσχετε παι-
δείας ἐν πολλῷ ἀριθμῷ ἀργυρίου· καὶ
πολὺν χρυσὸν κτήσασθε ἐν αὐ-
τῇ· εὐφρανθείη ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει
αὐτοῦ· καὶ μὴ αἰσχυνθείητε ἐν αἰνέσει αὐ-
τοῦ· ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ·
καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ:-

σοφία Ἰησοῦ υἱοῦ Σιράχ:-

πρόλογος τῶν καθολικῶν ἐπιστολῶν

Μικροῖς [illegible] ὁ [illegible]
[illegible] τοῖς [illegible]
[illegible] οὐχὶ [illegible]
[illegible] μικρο-
[illegible] ὀνόμασιν [illegible]
καὶ [illegible] ἀπο-
[illegible] ἐρχεῖ [illegible]
[illegible]
[illegible] τοῦ [illegible]
[illegible] λοιπὸν [illegible]
[illegible] τὸν αὐτὸν [illegible] τρόπον [illegible]

[illegible] καὶ [illegible]
[illegible] προφη-
[illegible] ἀπο-
[illegible]
[illegible]
[illegible] ἤδη [illegible]
[illegible] ὀλίγον [illegible]
[illegible] τοὺς [illegible]
[illegible] ἐκκλη-
[illegible]
[illegible]
[illegible]
[illegible] καὶ [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] μόνον [illegible]
[illegible]
[illegible] ποιούμενος [illegible]

ὑπόθεσις τῆς καθολικῆς Ἰακώβου [illegible]
ἐπιστολῆς:-

[illegible] αὐτῶν [illegible]
τοῖς [illegible]
[illegible] καὶ [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] ἐκκλησίαις [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]

...πιστολῆς. κατεβόησαν ἐπὶ τῇ ἁμαρτίᾳ
τοῦ γαμοῦντος τὴν μητρυιάν. ἐλυπήθη
σαν δὲ ὅτι παρεῖδον τότε τὸ τοιοῦτον ἁμάρ
τημα· ἔπαυσε γὰρ [illegible] παραιτεῖσθαι
τοὺς ψευδαποστόλους τῶν ἐν [illegible]
ποιουμένων· ὡς δὲ παραιτεῖσθαι [illegible]
[illegible] μου· καὶ διὰ φορτικὴν ἐσθίειν
τὴν παρὰ τοῦ Χριστοῦ χάριν. καὶ μάλλον προ
σέχοντες τοῖς ψευδαποστόλοις καυχωμένοις·
ἦσαν δὲ καὶ περὶ τῆς λογίας τῆς εἰς τοὺς ἁγί
ους φροντίζοντες καλῶς:-

πρὸς τὴν [illegible] ἀντιγραφεῖσα ἐπι
στολὴ:-

Καὶ πρῶτον μὲν ἀποδέχεται αὐτοὺς ἐκ
βαλόντας τὸν παρανομήσαντα· ἐπι
τιμᾷ δὲ ὅσα συνῆσαν τοῖς καθεκτέοις·
[illegible] καὶ λέγει δεῖν
μᾶλλον αὐτὸν διὰ [illegible] περὶ τοῦ νό
μου διαιρῶν τὸ γράμμα· καὶ δεικνὺς
ὅτι οὐδὲ λαμβάνειν τὰ γράμματα μόνα
τοῦ νόμου. ἀλλ' ἐν αὐτοῖς τὸ γράμμα τὴν
διάνοιαν εὑρεῖν· οὐ γὰρ μόνον ῥήματα εἶναι
ὁ νόμος. ἀλλ' ἐν τοῖς ἔργοις δεῖ καὶ νοεῖν
τοῦ πνεύματος ὅτι τοῦ Χριστοῦ ἐλθόντος
καὶ [illegible] κατὰ τὸ πα
λαιὸν ζῆν ἀποστολικῶς [illegible] πᾶσιν
ἀναιρεῖσθαι· καὶ ἀρχὴν εἶναι λοιπὸν τὴν
περὶ τοῦ [illegible] δὲ αὐτοῖς καὶ πε
ρὶ τῆς διακονίας· καὶ προτρέπεται μᾶ
λλον αὐτὴν [illegible] ὁ μὲν ὅσα δὲ
τοῖς ἐν [illegible] κατα
λλάττεσθαι [illegible] διὰ τὸν Κύριον
καὶ [illegible] δεῖ [illegible]
ὥρακεν [illegible] καὶ [illegible]
[illegible] ἔστι [illegible]
[illegible] ἀμαρτάνοντας
[illegible] χάριτας τοῖς τὴν
ἐπιστολήν:-

ὑπόθεσις τῆς πρὸς Γαλάτας
ἐπιστολῆς:-

Ταύτην ἐπιστέλλει ἀπορούμενος ὑπὲρ
αὐτῶν καὶ [illegible] πρόφασιν τῆς
ἐπιστολῆς αὐτῆς. [illegible]
οἱ Γαλάται παρὰ τοῦ ἀποστόλου· καὶ πιστεύ
σαντες [illegible] εἰς Χριστόν. ἀπόστολον μὲν
τὸν ἀπόστολον [illegible] πάσχειν τὴν πα
ρατηρ[illegible] περιτέμνεσθαι· ταῦ
τα τοίνυν μαθὼν ὁ ἀπόστολος· γράφει
αὐτοῖς· καὶ πρῶτον μὲν μαρτυρεῖ αὐ
τοῖς [illegible] πίστεως· [illegible]
ἐν Χριστῷ [illegible]
τοὺς ταράξαντας καὶ μεταλλάξαντας αὐ

τοῖς [illegible] περὶ τοῦ νόμου
καὶ [illegible] καὶ
ἀπόστολος κηρύσσει [illegible] καὶ [illegible]
[illegible] ἀλλ' [illegible] αὐτῷ
[illegible] τὴν [illegible]
περὶ τοῦ [illegible] καὶ [illegible]
τοῖς [illegible] καὶ [illegible]
ζειν. [illegible] αὐτοῖς [illegible]
[illegible] ἀλλὰ [illegible]
[illegible] χάριν. καὶ [illegible]
ὅτι [illegible] χάριτος. [illegible]
σαρ[illegible] περὶ [illegible] καὶ [illegible]
[illegible]
οἱ τὴν ἐπιστολήν:-

ὑπόθεσις τῆς πρὸς Ἐφεσίους
ἐπιστολῆς:-

Ταύτην ἐπιστέλλει [illegible]
[illegible] αὐτοῖς [illegible]
[illegible] αὐτῶν [illegible]
[illegible] αὐτῆς [illegible]
[illegible]
τὴν [illegible]
[illegible]
τοῦ Παύλου [illegible]
ἀπόστολος γράφει [illegible]
τὴν [illegible] ἐπιστολὴν [illegible]
[illegible]
[illegible]
[illegible] καταλλ[illegible]
[illegible] εὐδοκίαν τοῦ θεοῦ [illegible]
Χριστοῦ [illegible]
Ἐ[illegible]
[illegible] αὐτοῖς [illegible]
[illegible]
[illegible]
[illegible] τοῦ θεοῦ [illegible]
ὅτι [illegible]
[illegible] Χριστοῦ. [illegible]
[illegible] αὐτὸν [illegible]
[illegible] καὶ ὅτι [illegible]
αὐτοῦ [illegible]
[illegible] λόγοις. [illegible]
πατράσι καὶ τέκνοις, [illegible]
λοις [illegible]
[illegible] παρ[illegible] κατ[illegible]
[illegible] αὐτοὺς [illegible]
[illegible]
καὶ [illegible] πάσας [illegible]
[illegible] κατὰ [illegible]
[illegible] καὶ οὕτως [illegible]
ἐπιστολήν:- ὑπόθεσις τῆς πρὸς Φι
λιππησίους ἐπιστολῆς:-

[illegible] καὶ μάλιστα [illegible] [illegible] ἐπισκόπων [illegible] [illegible] καὶ [illegible] [illegible] [illegible] χρόνον [illegible] [illegible] [illegible] [illegible] πλούσιοις [illegible] [illegible] [illegible] [illegible] [illegible] καὶ [illegible] βασιλεῖ [illegible] [illegible] [illegible] [illegible] [illegible] καὶ οὕτω [illegible] τὴν ἐπιστολήν.

ὑπόθεσις τῆς πρὸς τιμόθεον δευτέρας ἐπιστολῆς

[illegible] ἀπὸ ῥώμης [illegible] [illegible] ἐπιστολῆς [illegible] [illegible] [illegible] τὴν ἐπιστολήν [illegible] [illegible] [illegible] καὶ [illegible] [illegible] [illegible] καὶ [illegible] [illegible] [illegible] οὕτως [illegible] [illegible] [illegible] καὶ φίλαυτοι καὶ φιλήδονοι μᾶλλον ἢ φιλόθεοι [illegible] [illegible]

[illegible] [illegible] [illegible] καὶ μαρτυρεῖ [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] καὶ οὕτω [illegible] τὴν ἐπιστολήν.

ὑπόθεσις τῆς πρὸς τίτον ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ νικοπόλεως· διέτριψε γὰρ παραχειμάζων. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη· [illegible] τὴν κρήτην [illegible] [illegible] ἵνα καταστήσῃ κατὰ πόλιν κληρικούς· πολλῶν δὲ ὄντων ἐκεῖ τῶν ἐπιχειρούντων προφάσει τοῦ νόμου ἀπατᾶν τοὺς λαούς, μαθὼν ὁ παῦλος γράφει· καὶ [illegible] χαριστήριον τῷ θεῷ [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] καὶ [illegible] [illegible] κατάστασιν τῶν κληρικῶν· καὶ τούτοις [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] μάλιστα [illegible] [illegible] κρῆτας ὅτι [illegible] [illegible] [illegible] [illegible] [illegible] καθαροῖς καὶ [illegible] [illegible] σωφρονίζειν [illegible] [illegible] δούλοις τοῖς ἰδίοις [illegible] [illegible] καὶ τέλος [illegible] [illegible] χάριτος [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] πρὸς αὐτὸν [illegible] [illegible] πρὸς αὐτόν [illegible] [illegible] καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

ὑπόθεσις τῆς πρὸς φιλήμονα ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ ῥώμης· καὶ δὴ πρόφασις τῆς ἐπιστολῆς αὕτη· ὀνήσιμος οἰκέτης φιλήμονος [illegible] καὶ

δάσκειν αὐτοὺς τὸν λαὸν καὶ καταγγέλλειν
ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν· καὶ ἐ-
πέβαλον αὐτοῖς τὰς χεῖρας καὶ ἔθεντο εἰς τή-
ρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα
ἤδη. πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευ-
σαν καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡ-
σεὶ χιλιάδες πέντε· ἐγένετο δὲ ἐπὶ τὴν αὔ-
ριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους
καὶ γραμματεῖς ἐν Ἱερουσαλὴμ καὶ Ἄνναν τὸν ἀρ-
χιερέα καὶ Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέ-
ξανδρον καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ·

καὶ στήσαντες αὐτοὺς ἐν μέσῳ ἐπυνθάνον-
το· ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐ-
ποιήσατε τοῦτο ὑμεῖς; τότε Πέτρος
πλησθεὶς πνεύματος ἁγίου εἶπε πρὸς αὐτούς·
ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ·
εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπ' εὐ-
εργεσίᾳ ἀνθρώπου ἀσθενοῦς ἐν τίνι οὗτος
σέσωσται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ
παντὶ τῷ λαῷ Ἰσραὴλ ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ
Χριστοῦ τοῦ Ναζωραίου ὃν ὑμεῖς ἐσταυρώσατε,
ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗ-
τος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής·
οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑ-
μῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος
εἰς κεφαλὴν γωνίας· καὶ οὐκ ἔστιν ἐν ἄλλῳ
οὐδενὶ ἡ σωτηρία· οὐδὲ γὰρ ὄνομά ἐστιν ἕτερον
ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις ἐν ᾧ δεῖ
σωθῆναι ἡμᾶς· θεωροῦντες δὲ τὴν τοῦ
Πέτρου παρρησίαν καὶ Ἰωάννου καὶ κατα-
λαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ
ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε
αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν· τὸν δὲ
ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα
τὸν τεθεραπευμένον οὐδὲν εἶχον ἀντειπεῖν·
κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀ-
πελθεῖν, συνέβαλλον πρὸς ἀλλήλους
λέγοντες· τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;
ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι' αὐ-
τῶν πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ
φανερόν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι· ἀλλ'
ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν
λαόν, ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς
μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδε-
νὶ ἀνθρώπων· καὶ καλέσαντες αὐτοὺς παρήγγειλαν
τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν
ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ· ὁ δὲ Πέτρος καὶ Ἰω-
άννης ἀποκριθέντες πρὸς αὐτοὺς εἶπον·
εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ ὑμῶν ἀκού-
ειν μᾶλλον ἢ τοῦ θεοῦ κρίνατε· οὐ δυνάμε-
θα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λα-

λεῖν· οἱ δὲ προσαπειλησάμενοι ἀπέ-
λυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ
πῶς κολάσωνται αὐτούς, διὰ τὸν λαόν, ὅ-
τι πάντες ἐδόξαζον τὸν θεὸν ἐπὶ τῷ γεγο-
νότι· ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα
ὁ ἄνθρωπος ἐφ' ὃν γεγόνει τὸ σημεῖον τοῦτο τῆς
ἰάσεως· ἀπολυθέντες δὲ ἦλθον πρὸς
τοὺς ἰδίους καὶ ἀπήγγειλαν πρὸς αὐτοὺς
ὅσα οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον·
οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν

πρὸς τὸν θεὸν καὶ εἶπον· δέσποτα σὺ ὁ θεὸς ὁ
ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θά-
λασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ τοῦ πατρὸς
ἡμῶν διὰ πνεύματος ἁγίου στόματος Δαβὶδ παιδός σ-
ου εἰπών· ἱνατί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐ-
μελέτησαν κενά· παρέστησαν οἱ βασιλεῖς
τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐ-
πὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ
αὐτοῦ· συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐ-
πὶ τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σου
Ἰησοῦν ὃν ἔχρισας· Ἡρῴδης τε καὶ Πόντιος Πι-
λᾶτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραὴλ ποιῆσαι
ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε
γενέσθαι· καὶ τὰ νῦν κύριε ἔπιδε ἐπὶ τὰς
ἀπειλὰς αὐτῶν καὶ δὸς τοῖς δούλοις σου
μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον
σου ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν
καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνό-
ματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ· καὶ
δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν
συνηγμένοι· καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος
ἁγίου καὶ ἐλάλουν τὸν λόγον τοῦ θεοῦ
μετὰ παρρησίας· τοῦ δὲ πλήθους τῶν πι-
στευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία·
οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδι-
ον εἶναι· ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά· καὶ
μεγάλῃ δυνάμει ἀπεδίδουν οἱ ἀπόστολοι τὸ
μαρτύριον τῆς ἀναστάσεως τοῦ κυρίου Ἰησοῦ· χά-
ρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς· οὐ-
δὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς· ὅσοι
γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον,
πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασ-
κομένων καὶ ἐτίθουν παρὰ τοὺς πόδας
τῶν ἀποστόλων· διεδίδετο δὲ ἑκάστῳ καθό-
τι ἄν τις χρείαν εἶχεν· Ἰωσὴς δὲ ὁ ἐπικλη-
θεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστι
μεθερμηνευόμενον υἱὸς παρακλήσεως
Λευΐτης Κύπριος τῷ γένει· ὑπάρχοντος
αὐτῷ ἀγροῦ πωλήσας ἤνεγκε τὸ
χρῆμα· καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν
ἀποστόλων· ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι·

περὶ χειροτονίας τῶν ζ διακόνων.

τρίτη ἑνιαυσιαία ἐπιστολή

[illegible]

ἀνέστησεν ... χειρί ... ἄνδρες

... φοβούμενοι τὸν θν̄ ...

... τοῦ λαοῦ τούτου ἰσλ̄ ...

... τὸν λαὸν ὕψωσεν ...

... ἐν γῇ αἰγύπτου καὶ ...

... χρόνον ...

[illegible]

... ἐπλήρωσαν ... καὶ ...

[illegible]

... νεκρῶν ...

[illegible]

καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς
τοὺς πατέρας ἐπαγγελίαν γενο-
μένην ὅτι ταύτην ὁ θς̄ ἐκπεπλή-
ρωκεν τοῖς τέκνοις αὐτῶν· ἡμῖν ἀναστή-
σας ἰν̄· ὡς καὶ ἐν τῷ ψαλμῷ γέγραπται
ψαλμ β τῷ δευτέρῳ· υἱός μου εἶ σὺ ἐγὼ σήμερον γεγέννη-
κά σε· ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν
μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν· οὕτως εἴρηκεν·
κ̄γ ὅτι δώσω ὑμῖν τὰ ὅσια δαδ τὰ πιστά· διὸ καὶ
καὶ ἐν ἑτέρῳ λέγει· οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν
διαφθοράν· δαδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας
τῇ τοῦ θῦ βουλῇ ἐκοιμήθη καὶ προσετέθη πρὸς τοὺς πατέρας
αὐτοῦ καὶ εἶδεν διαφθοράν· ὃν δὲ ὁ θς̄ ἤγειρεν,
οὐκ εἶδεν διαφθοράν· γνωστὸν οὖν ἔστω ὑμῖν ἄν-
δρες ἀδελφοὶ ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρ-
τιῶν καταγγέλλεται· καὶ ἀπὸ πάντων ὧν οὐ-
κ ἠδυνήθητε ἐν νόμῳ μωσέως δικαιωθῆ-
ναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται· βλέ-
ἀμβακοὺμ προφήτου βλέπετε οὖν μὴ ἐπέλθῃ τὸ εἰρημένον ἐν
τοῖς προφήταις· ἴδετε οἱ καταφρονηταὶ
καὶ θαυμάσατε καὶ ἀφανίσθητε· ὅτι ἔρ-
γον ἐργάζομαι ἐγὼ ἐν ταῖς ἡμέραις ὑμῶν· ἔρ-
γον ὃ οὐ μὴ πιστεύσητε ἐάν τις ἐκδιηγῆται
ὑμῖν· ἐξιόντων δὲ αὐτῶν παρεκάλουν εἰς
τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ
βασιλειῶν δ̄ ῥήματα ταῦτα· λυθείσης δὲ τῆς συναγωγῆς
ἠκολούθησαν πολλοὶ τῶν ἰουδαίων καὶ τῶν
σεβομένων προσηλύτων τῷ παύλῳ καὶ τῷ
βαρνάβᾳ· οἵτινες προσλαλοῦντες αὐτοῖς ἔ-
πειθον αὐτοὺς προσμένειν τῇ χάριτι τοῦ
θῦ· τῷ δὲ ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα
ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ κῦ·
ἰδόντες δὲ οἱ ἰουδαῖοι τοὺς ὄχλους ἐ-
ματθαίου ἐπλήσθησαν ζήλου καὶ ἀντέλεγον τοῖς ὑ-
πὸ τοῦ παύλου λεγομένοις ἀντιλέγοντες καὶ βλασφημοῦν-
τες· παρρησιασάμενοι δὲ ὁ παῦλος καὶ ὁ
βαρνάβας εἶπον· ὑμῖν ἦν ἀναγκαῖον πρῶ-
τον λαληθῆναι τὸν λόγον τοῦ θῦ· ἐπειδὴ δὲ
ἀπωθεῖσθε αὐτὸν καὶ οὐκ ἀξίους κρίνετε ἑ-
αυτοὺς τῆς αἰωνίου ζωῆς· ἰδοὺ στρεφό-
μεθα εἰς τὰ ἔθνη· οὕτως γὰρ ἐντέταλται ἡ-
μῖν ὁ κς̄· τέθεικά σε εἰς φῶς ἐθνῶν τοῦ εἶναί
σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς· ἀκούον-
τα δὲ τὰ ἔθνη ἔχαιρον καὶ ἐδόξαζον τὸν
λόγον τοῦ κῦ· καὶ ἐπίστευσαν ὅσοι ἦσαν τε-
ταγμένοι εἰς ζωὴν αἰώνιον· διεφέρετο δὲ ὁ λό-
γος τοῦ κῦ καθ' ὅλης τῆς χώρας· οἱ δὲ ἰ-
ουδαῖοι παρώτρυναν τὰς σεβομένας γυ-
ναῖκας τὰς εὐσχήμονας καὶ τοὺς πρώτους τῆς
πόλεως· καὶ ἐπήγειραν διωγμὸν ἐπὶ

πρίμ τάσεως τοῦ κηρύγματος κζ

τελ̄ τῆς πριμ τάσεως τοῦ κηρύγματος κζ

[illegible]

κβ

ε
πτοὺς ἐν
λήθροις
ἐκ τῆς ε.
τῆς χωλ
ἰάθη ἐν
τῇ.

ἐπὶ τὰς
πύλας ἐξ-
έκλεισεν
καὶ ἐξῆλ-
θεν αὐτοῖς

φωνῆς ἧς ἐκέκραξα ἑστὼς ἐν αὐτοῖς· ὅτι
περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι
σήμερον ὑφ' ὑμῶν. ἀνεβάλετο δὲ αὐτοὺς
ὁ Φῆλιξ ἀκριβέστερον εἰδὼς τὰ περὶ
τῆς ὁδοῦ εἰπών· ὅταν Λυσίας ὁ χιλίαρχος
καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς.
διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖ-
σθαι αὐτόν, ἔχειν τε ἄνεσιν καὶ μη-
δένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν
αὐτῷ. μετὰ δὲ ἡμέρας τινὰς παρα-
γενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ ἰδίᾳ
γυναικὶ οὔσῃ Ἰουδαίᾳ μετεπέμψατο
τὸν Παῦλον καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς
εἰς Χριστὸν πίστεως. διαλεγομένου δὲ αὐτοῦ
περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ κρί-
ματος τοῦ μέλλοντος, ἔμφοβος γενόμενος
ὁ Φῆλιξ ἀπεκρίθη· τὸ νῦν ἔχον πορεύου,
καιρὸν δὲ λαβὼν μετακαλέσομαί σε·
ἅμα καὶ ἐλπίζων ὅτι χρήματα δοθή-
σεται αὐτῷ ὑπὸ τοῦ Παύλου. διὸ καὶ πυ-
κνότερον αὐτὸν μεταπεμπόμενος ὡμί-
λει αὐτῷ. διετίας δὲ πληρωθείσης
ἔλαβε διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆ-
στον· θέλων δὲ χάριν καταθέσθαι τοῖς Ἰου-
δαίοις ὁ Φῆλιξ κατέλιπε τὸν Παῦλον
δεδεμένον. Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ
μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσό-
λυμα ἀπὸ Καισαρείας. ἐνεφάνισαν τε
αὐτῷ οἱ ἀρχιερεῖς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων
κατὰ τοῦ Παύλου καὶ παρεκάλουν αὐ-
τὸν αἰτούμενοι χάριν κατ' αὐτοῦ ὅπως μεταπέμ-
ψηται αὐτὸν εἰς Ἱερουσαλήμ, ἐνέδραν ποιοῦντες ἀνε-
λεῖν αὐτὸν κατὰ τὴν ὁδόν. ὁ μὲν οὖν Φῆστος
ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον εἰς Καισα-
ρείαν, αὐτὸν δὲ μέλλειν ἐν τάχει ἐκπο-
ρεύεσθαι. οἱ οὖν ἐν ὑμῖν φησὶ δυνατοὶ συγκα-
ταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ, κατη-
γορείτωσαν αὐτοῦ. διατρίψας δὲ ἐν
αὐτοῖς ἡμέρας οὐ πλείους ὀκτὼ ἢ δέκα,
καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθί-
σας ἐπὶ τοῦ βήματος ἐκέλευσε τὸν Παῦ-
λον ἀχθῆναι. παραγενομένου δὲ αὐτοῦ
περιέστησαν αὐτὸν οἱ ἀπὸ Ἱεροσολύμων κατα-
βεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα
αἰτιώματα καταφέροντες, ἃ οὐκ ἴσχυον
ἀποδεῖξαι, τοῦ Παύλου ἀπολογουμένου
ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων οὔτε
εἰς τὸ ἱερὸν οὔτε εἰς Καίσαρά τι ἥμαρτον.
ὁ Φῆστος δὲ θέλων τοῖς Ἰουδαίοις χάριν κατα-
θέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπε· θέλεις

εἰς Ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων
κρίνεσθαι ἐπ' ἐμοῦ; εἶπε δὲ ὁ Παῦλος· ἐπὶ
τοῦ βήματος Καίσαρος οὗ δεῖ κρίνεσθαι· Ἰου-
δαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον
ἐπιγινώσκεις. εἰ μὲν οὖν ἀδικῶ καὶ ἄξιον
θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ
ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατη-
γοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς
χαρίσασθαι· Καίσαρα ἐπικαλοῦμαι. τότε
ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου ἀπ-
εκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα
πορεύσῃ. ἡμερῶν δὲ διαγενομένων τινῶν
Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήν-
τησαν εἰς Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον.
ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆ-
στος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον
λέγων· ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ
Φήλικος δέσμιος, περὶ οὗ γενομένου μου εἰς
Ἱεροσόλυμα ἐνεφάνισαν οἱ ἀρχιερεῖς
καὶ οἱ πρεσβύτεροι, αἰτούμενοι κατ' αὐτοῦ
καταδίκην. πρὸς οὓς ἀπεκρίθην ὅτι
οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα
ἄνθρωπον πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρό-
σωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπο-
λογίας λάβοι περὶ τοῦ ἐγκλήματος. συνελ-
θόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μη-
δεμίαν ποιησάμενος τῇ ἑξῆς καθίσας
ἐπὶ τοῦ βήματος ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα·
περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν
αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγὼ πονηρῶν,
ζητήματα δέ τινα περὶ τῆς ἰδίας δει-
σιδαιμονίας εἶχον πρὸς αὐτὸν καὶ περί
τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦ-
λος ζῆν. ἀπορούμενος δὲ ἐγὼ τὴν
περὶ τούτων ζήτησιν, ἔλεγον εἰ βούλοιτο
πορεύεσθαι εἰς Ἱεροσόλυμα κἀκεῖ κρίνεσθαι
περὶ τούτων. τοῦ δὲ Παύλου ἐπικαλεσα-
μένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ
διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν
ἕως οὗ ἀναπέμψω αὐτὸν πρὸς
Καίσαρα. Ἀγρίππας δὲ πρὸς τὸν
Φῆστον· ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου
ἀκοῦσαι. ὁ δέ· αὔριον, φησίν, ἀκούσῃ αὐτοῦ.
τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα
καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντα-
σίας καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον
σύν τε χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ'
ἐξοχὴν τῆς πόλεως, καὶ κελεύσαντος
τοῦ Φήστου ἤχθη ὁ Παῦλος. καί φησιν ὁ Φῆστος·
Ἀγρίππα βασιλεῦ καὶ πάντες οἱ συμπ-

ὅτι τῷ κυβερνήτῃ προσῆλθε [illegible]
καὶ Παῦλος

πνεύματος καὶ πίστεως ὃν ἐκρίτου
καὶ ταπεινοφροσύνης· πρόσεχε σεαυτῷ
καὶ τοῖς
Ἰάκωβος ἐπίσκοπος καθολικῆς
ἐκκλησίας θεοῦ καὶ κυρίου Ἰησοῦ χριστοῦ δοῦλος τοῖς δω
δεκαφυλοῖς τοῖς ἐν τῇ διασπορᾷ χαίρειν
ὡς ἐν μεγάλῃ χαρᾷ ἡγήσασθε ἀδελφοί μου
ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις·
γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς
πίστεως κατεργάζεται ὑπομονήν· ἡ δὲ ὑπο
μονὴ ἔργον τέλειον ἐχέτω ἵνα ἦτε τέλειοι
καὶ ὁλόκληροι ἐν μηδενὶ λειπόμενοι· εἰ δέ τις
ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ
διδόντος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος·
καὶ δοθήσεται αὐτῷ· αἰτείτω δὲ ἐν πίστει
μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος
ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ
καὶ ῥιπιζομένῳ· μὴ γὰρ οἰέσθω ὁ ἄνθρω
πος ἐκεῖνος ὅτι λήμψεταί τι παρὰ τοῦ κυ· ἀνὴρ
δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς
ὁδοῖς αὐτοῦ· καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ
ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ· ὁ δὲ πλούσιος
ἐν τῇ ταπεινώσει αὐτοῦ· ὅτι ὡς ἄνθος
χόρτου παρελεύσεται· ἀνέτειλε γὰρ ὁ ἥλιος
σὺν τῷ καύσωνι· καὶ ἐξήρανε τὸν χόρτον·
καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· καὶ ἡ εὐπρέπεια
τοῦ προσώπου αὐτοῦ ἀπώλετο· οὕτως καὶ
ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρ
ανθήσεται· μακάριος ἀνὴρ ὃς ὑπομένει
πειρασμόν· ὅτι δόκιμος γενόμενος λήμψεται
τὸν στέφανον τῆς ζωῆς· ὃν ἐπηγγείλατο
τοῖς ἀγαπῶσιν αὐτόν· μηδεὶς πειραζόμε
νος λεγέτω ὅτι ἀπὸ θεοῦ πειράζομαι· ὁ γὰρ θεὸς
ἀπείραστός ἐστι κακῶν· πειράζει δὲ αὐτὸς
οὐδένα· ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς
ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελε
αζόμενος· εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει
ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα, ἀποκυεῖ θάνατον· μὴ πλα
νᾶσθε ἀδελφοί μου ἀγαπητοί· πᾶσα
δόσις ἀγαθὴ· καὶ πᾶν δώρημα τέλειον
ἄνωθέν ἐστι καταβαῖνον παρὰ τοῦ πα
τρὸς τῶν φώτων· παρ᾽ οὗ κ᾽ ἐστὶ παραλλαγὴ ἢ
τροπῆς ἀποσκίασμα· βουληθεὶς ἀπε
κύησεν ἡμᾶς λόγῳ ἀληθείας· εἰς τὸ εἶναι
ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμά
των ἀδελφοί μου ἀγαπητοί· ἔστω δὲ πᾶς
ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι· βραδὺς εἰς τὸ
λαλῆσαι· βραδὺς εἰς ὀργήν· ὀργὴ γὰρ
ἀνδρὸς δικαιοσύνην θεοῦ οὐκ ἐργάζεται· διὸ
ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισ
σείαν κακίας ἐν πραΰτητι δέξασθε τὸν
ἔμφυτον λόγον τὸν δυνάμενον σῶσαι τὰς
ψυχὰς ὑμῶν· γίνεσθε δὲ ποιηταὶ λόγου καὶ
μὴ μόνον ἀκροαταὶ παραλογιζόμενοι
ἑαυτούς· ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶν
καὶ οὐ ποιητής· οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν
ἐσόπτρῳ· κατενόησεν γὰρ ἑαυτὸν καὶ ἀπελήλυθε· καὶ εὐθέως ἐπελάθετο ὁποῖος
ἦν· ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας καὶ παραμείνας
οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος ἀλλὰ ποιητὴς ἔργου οὗτος μακάριος ἐν τῇ
ποιήσει αὐτοῦ ἔσται· εἴ τις δοκεῖ θρησκὸς εἶναι μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ ἀλλὰ
ἀπατῶν καρδίαν αὐτοῦ· τούτου μάταιος ὁ θρη
σκός· καθαρὰ καὶ ἀμίαντος θρησκεία παρὰ τῷ θεῷ καὶ πατρὶ αὕτη ἐστίν·
ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν ἐπισκέπτεσθαι ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου·
ἀδελφοί μου μὴ ἐν προσωπολημψίαις ἔχετε τὴν πίστιν τοῦ κυ ἡμῶν Ἰησοῦ χριστοῦ τῆς δόξης·
ἐὰν γὰρ εἰσέλθῃ εἰς συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι·
καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν καὶ εἴπητε αὐτῷ σὺ κάθου ὧδε καλῶς·
καὶ τῷ πτωχῷ εἴπητε στῆθι ἐκεῖ ἢ κάθου ὑπὸ τὸ ὑποπόδιόν μου· οὐ διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν·
ἀκούσατε ἀδελφοί μου ἀγαπητοί· οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τῷ κόσμῳ πλουσίους ἐν πίστει καὶ κληρονόμους τῆς βασιλείας
ἣν ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν· ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν· οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια·
οὐκ αὐτοὶ βλασφημοῦσιν τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ᾽ ὑμᾶς· εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν γραφήν·
ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· καλῶς ποιεῖτε· εἰ δὲ προσωπολημπτεῖτε ἁμαρτίαν ἐργάζεσθε ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου
ὡς παραβάται· ὃς γὰρ ὅλον τὸν νόμον τηρήσῃ πταίσῃ δὲ ἐν ἑνί γέγονεν πάντων ἔνοχος· ὁ γὰρ εἰπὼν μὴ μοιχεύσῃς εἶπεν καί μὴ φονεύσῃς·
εἰ δὲ οὐ μοιχεύεις φονεύεις δὲ γέγονας παραβάτης νόμου· οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι·
ἡ γὰρ κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος· κατακαυχᾶται ἔλεος κρίσεως· τί τὸ ὄφελος ἀδελφοί μου ἐὰν πίστιν λέγῃ τις ἔχειν ἔργα δὲ μὴ ἔχῃ·
μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν· ἐὰν ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσιν καὶ λειπόμενοι τῆς ἐφημέρου τροφῆς·
εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν ὑπάγετε ἐν εἰρήνῃ θερμαίνεσθε καὶ χορτάζεσθε μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος τί τὸ ὄφελος·
οὕτως καὶ ἡ πίστις ἐὰν μὴ ἔχῃ ἔργα νεκρά ἐστιν καθ᾽ ἑαυτήν· ἀλλ᾽ ἐρεῖ τις σὺ πίστιν ἔχεις κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν πίστιν σου
ἐκ τῶν ἔργων σου κἀγώ σοι δείξω ἐκ τῶν ἔργων μου τὴν πίστιν μου· σὺ πιστεύεις ὅτι εἷς ἐστιν ὁ θεός· καλῶς ποιεῖς καὶ τὰ δαιμόνια
πιστεύουσιν καὶ φρίσσουσιν· θέλεις δὲ γνῶναι ὦ ἄνθρωπε κενὸς ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων ἀργή ἐστιν· Ἀβραὰμ ὁ πατὴρ ἡμῶν
οὐκ ἐξ ἔργων ἐδικαιώθη ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον· βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ
καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη· καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην
καὶ φίλος θεοῦ ἐκλήθη· ὁρᾶτε ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος καὶ οὐκ ἐκ πίστεως μόνον· ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων
ἐδικαιώθη ὑποδεξαμένη τοὺς ἀγγέλους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα· ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν οὕτως καὶ ἡ πίστις
χωρὶς ἔργων νεκρά ἐστιν·

πέτρου ἐπιστολὴ ζ΄:

Συμεὼν πέτρος δοῦλος καὶ ἀπόστολος ἰ̄ χ̄ῡ̄
τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαι-
οσύνῃ τοῦ θεοῦ ἡμῶν καὶ σωτῆρος ἰ̄ χ̄ῡ̄ χάρις ὑ-
μῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει
τοῦ θεοῦ καὶ ἰ̄ τοῦ κ̄ῡ ἡμῶν· ὡς τὰ
πάντα ἡμῖν τῆς θείας αὐτοῦ δυνάμεως τὰ
πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημέ-
νης διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡ-
μᾶς ἰδίᾳ δόξῃ καὶ ἀρετῇ· δι' ὧν τὰ μέγι-
στα καὶ τίμια ἡμῖν ἐπαγγέλματα δεδώρη-
ται· ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ
φύσεως· ἀποφυγόντες τῆς ἐν τῷ κόσμῳ ἐν
θυμίᾳ φθορᾶς· καὶ αὐτὸ δὲ τοῦτο σπου-
δὴν πᾶσαν παρεισενέγκαντες ἐπιχορη-
γήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν· ἐν δὲ
τῇ ἀρετῇ τὴν γνῶσιν· ἐν δὲ τῇ γνώσει τὴν
ἐγκράτειαν· ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπο-
μονήν· ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν·
ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν·
ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην· ταῦ-
τα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα
οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν
εἰς τὴν τοῦ κ̄ῡ ἡμῶν ἰ̄ χ̄ῡ̄ ἐπίγνωσιν· ᾧ
γάρ ἐστι ταῦτα μὴ πάρεστιν τυφλὸς ἐστὶν μυω-
πάζων· λήθην λαβὼν τοῦ καθαρισμοῦ
τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν· διὸ μᾶλ-
λον ἀδελφοί σπουδάσατε βεβαίαν ὑμῶν
τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦ-
τα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε·
οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν
ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ κ̄ῡ
καὶ σ̄ω̄τ̄ῆ̄ρ̄ος ἰ̄ χ̄ῡ̄· διὸ μελλήσω ὑμᾶς
ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων καὶ περ εἰ
εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀλη-
θείᾳ· δίκαιον δὲ ἡγοῦμαι ἐφ' ὅσον εἰμὶ
ἐν τούτῳ τῷ σκηνώματι διεγείρειν ὑμᾶς ἐν

οἰκονόμοι ποικίλης χάριτος θεοῦ· εἴ τις λα-
λεῖ ὡς λόγια θεοῦ· εἴ τις διακονεῖ ὡς ἐξ ἰσχύος
ἧς χορηγεῖ ὁ θεός· ἵνα ἐν πᾶσιν δοξάζηται ὁ
θεὸς διὰ ἰ̄ χ̄ῡ̄· ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς
τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν· ἀγα-
πητοί μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς
πειρασμὸν ὑμῖν γινομένῃ ὡς ξένου ὑμῖν συμ-
βαίνοντος· ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς
τοῦ χ̄ῡ̄ παθήμασιν χαίρετε· ἵνα καὶ ἐν τῇ ἀπο-
καλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώ-
μενοι· εἰ ὀνειδίζεσθε ἐν ὀνόματι χ̄ῡ̄· μα-
κάριοι ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα
καὶ ἐφ' ὑμᾶς ἀναπαύεται· κατὰ μὲν αὐτοὺς
βλασφημεῖται· κατὰ δὲ ὑμᾶς δοξάζεται·
μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς ἢ κλέπτης
ἢ κακοποιὸς ἢ ὡς ἀλλοτριεπίσκοπος· εἰ δὲ ὡς χρι-
στιανός· μὴ αἰσχυνέσθω· δοξαζέτω δὲ τὸν
θεὸν ἐν τῷ ὀνόματι τούτῳ· ὅτι καιρὸς
τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου
τοῦ θεοῦ· εἰ δὲ πρῶτον ἀφ' ἡμῶν
τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ
θεοῦ εὐαγγελίῳ· καὶ εἰ ὁ δίκαιος μόλις σω-
ζεται· ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ
φανεῖται· ὥστε καὶ οἱ πάσχοντες κατὰ
τὸ θέλημα τοῦ θεοῦ πιστῷ κτίστῃ
παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν ἐν
ἀγαθοποιΐᾳ· πρεσβυτέρους οὖν ἐν ὑμῖν
παρακαλῶ ὁ συμπρεσβύτερος καὶ μάρτυς
τῶν τοῦ χ̄ῡ̄ παθημάτων ὁ καὶ τῆς μελλού-
σης ἀποκαλύπτεσθαι δόξης κοινωνός·
ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ
μὴ ἀναγκαστῶς ἀλλὰ ἑκουσίως κατὰ θεόν·
μηδὲ αἰσχροκερδῶς ἀλλὰ προθύμως·
μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων
ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου·
καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος
κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης
στέφανον· ὁμοίως νεώτεροι ὑποτάγητε
πρεσβυτέροις· πάντες δὲ ἀλλήλοις τὴν
ταπεινοφροσύνην ἐγκομβώσασθε· ὅτι
ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται
ταπεινοῖς δὲ δίδωσιν χάριν· ταπει-
νώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ
θεοῦ ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ· πᾶ-
σαν τὴν μέριμναν ὑμῶν ἐπιρίψαντες
ἐπ' αὐτόν· ὅτι αὐτῷ μέλει περὶ ὑμῶν·
νήψατε γρηγορήσατε· ὁ ἀντίδικος ὑμῶν
διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ
ζητῶν τινα καταπιεῖν· ᾧ ἀντίστητε στε-
ρεοὶ τῇ πίστει εἰδότες τὰ αὐτὰ τῶν παθη-
μάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι
ἐπιτελεῖσθαι· ὁ δὲ θεὸς πάσης χάριτος ὁ
καλέσας ὑμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν
ἐν χ̄ῡ̄ ἰ̄ ὀλίγον παθόντας αὐτὸς κατα-
ρτίσει στηρίξει σθενώσει θεμελιώσει·
αὐτῷ τὸ κράτος εἰς τοὺς αἰῶνας· ἀμήν·
διὰ σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ
ὡς λογίζομαι δι' ὀλίγων ἔγραψα πα-
ρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶ-
ναι ἀληθῆ χάριν τοῦ θεοῦ εἰς ἣν ἕστητε·
ἀσπάζεται ὑμᾶς ἡ ἐν βαβυλῶνι συνεκλε-
κτὴ καὶ μᾶρκος ὁ υἱός μου· ἀσπάσασθε
ἀλλήλους ἐν φιλήματι ἀγάπης· εἰρήνη
ὑμῖν πᾶσιν τοῖς
ἐν χ̄ῳ̄·

πρὸς τιμόθεον β̄.

Παῦλος ὁ ἀπόστολος χῡ̄ ἰ̄ῡ̄ διὰ θελήματος θ̄ῡ κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν χ̄ῳ̄ ἰ̄ῡ̄ τιμοθέῳ ἀγαπητῷ τέκνῳ χάριν ἔλεος εἰρήνην ἀπὸ θ̄ῡ πατρὸς καὶ χ̄ῡ ἰ̄ῡ̄ τοῦ κῡ ἡμῶν. εὐχαριστῶ τῷ θεῷ ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας ἐπιποθῶν σε ἰδεῖν μεμνημένος σου τῶν δακρύων ἵνα χαρᾶς πληρωθῶ ὑπόμνησιν λαβὼν τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως ἥτις ἐνῴκησεν πρῶτον ἐν τῇ μάμμῃ σου λωΐδι καὶ τῇ μητρί σου εὐνίκῃ πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί

ὁ ἀνήρ σου σὺν τοῖς τέκνοις διὰ τῶν χρόνων ἐν ὧ γὰρ ἔθηκέν με κῆρυξ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν διὰ τοῦτο καὶ πάσχω ἀλλ' οὐκ ἐπαισχύνομαι οἶδα γὰρ ᾧ πεπίστευκα καὶ πέπεισμαι ὅτι δυνατός ἐστιν τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν ὃν ἔχεις ἀκούσας παρ' ἐμοῦ ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν χ̄ῳ̄ ἰ̄ῡ̄ καλὴν παραθήκην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν οἶδας τοῦτο ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ ἀσίᾳ ὧν ἐστιν φύγελλος καὶ ἑρμογένης δῴη ἔλεος ὁ κ̄ς τῷ ὀνησιφόρου οἴκῳ ὅτι πολλάκις με ἀνέψυξεν καὶ τὴν ἅλυσίν μου οὐκ ἐπαισχύνθη ἀλλὰ γενόμενος ἐν ῥώμῃ ἐζήτησέν με σπουδαίως καὶ εὗρεν καὶ ἀπέδωκέν μοι ὁ κ̄ς εὑρεῖν αὐτὸν ἔλεος παρὰ κῡ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ὅσα ἐν ἐφέσῳ διηκόνησεν βέλτιον σὺ γινώσκεις σὺ οὖν τέκνον μου ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν χ̄ῳ̄ ἰ̄ῡ̄ καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων ταῦτα παράθου πιστοῖς ἀνθρώποις οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης χ̄ῡ ἰ̄ῡ̄ οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ ἐὰν δὲ καὶ ἀθλῇ οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ τὸν κόπον δεῖ τὸν γεωργοῦντα πρῶτον τῶν καρπῶν μεταλαμβάνειν νόει ἃ λέγω δώσει γάρ σοι ὁ κ̄ς σύνεσιν ἐν πᾶσιν μνημόνευε ἰ̄ν̄ χ̄ν̄ ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος δαυὶδ κατὰ τὸ εὐαγγέλιόν μου ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος ἀλλ' ὁ λόγος θ̄ῡ οὐ δέδεται διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς ἐν χ̄ῳ̄ ἰ̄ῡ̄ μετὰ δόξης αἰωνίου πιστὸς ὁ λόγος εἰ γὰρ συναπεθάνομεν καὶ συζήσομεν εἰ ὑπομένομεν καὶ συμβασιλεύσομεν εἰ ἀρνησόμεθα κἀκεῖνος ἀρνήσεται ἡμᾶς εἰ ἀπιστοῦμεν ἐκεῖνος πιστὸς μένει ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται τούτων ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον θ̄ῡ μὴ λογομαχεῖν ἐπ' οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ θ̄ῳ̄ ἐργάτην ἀνεπαίσχυντον ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας τοὺς δὲ βεβήλους κενοφωνίας περιΐστασο ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει ὧν ἐστιν ὑμέναιος καὶ φίλητος οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν λέγοντες ἀνάστασιν ἤδη γεγονέναι καὶ ἀνατρέπουσιν τὴν τῶν τινων πίστιν ὁ μέντοι στερεὸς θεμέλιος τοῦ θ̄ῡ ἕστηκεν ἔχων τὴν σφραγῖδα ταύτην ἔγνω κ̄ς τοὺς ὄντας αὐτοῦ καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα κ̄ῡ ἐν δὲ μεγάλῃ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα καὶ ἃ μὲν εἰς τιμήν ἃ δὲ εἰς ἀτιμίαν ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων ἔσται σκεῦος εἰς τιμήν ἡγιασμένον εὔχρηστον τῷ δεσπότῃ εἰς πᾶν ἔργον ἀγαθὸν ἑτοιμασμένον νεωτερικὰς δὲ ἐπιθυμίας φεῦγε δίωκε δὲ δικαιοσύνην εὐσέβειαν πίστιν ἀγάπην ὑπομονὴν πραϋπαθίαν μετὰ τῶν ἐπικαλουμένων τὸν κ̄ν̄ ἐκ καθαρᾶς καρδίας τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ εἰδὼς ὅτι γεννῶσιν μάχας δοῦλον δὲ κῡ οὐ δεῖ μάχεσθαι ἀλλὰ ἤπιον εἶναι πρὸς πάντας διδακτικόν ἀνεξίκακον ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους μήποτε δῴη αὐτοῖς ὁ θ̄ς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα τοῦτο δὲ γίνωσκε ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι φιλάργυροι ἀλαζόνες ὑπερήφανοι βλάσφημοι γονεῦσιν ἀπειθεῖς ἀχάριστοι ἀνόσιοι ἄστοργοι ἄσπονδοι διάβολοι ἀκρατεῖς ἀνήμεροι ἀφιλάγαθοι προδόται προπετεῖς τετυφωμένοι φιλήδονοι μᾶλλον ἢ φιλόθεοι ἔχοντες μόρφωσιν εὐσεβείας τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι καὶ τούτους ἀποτρέπου ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις ἀγόμενα ἐπιθυμίαις ποικίλαις πάντοτε μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα ὃν τρόπον δὲ ἰαννῆς καὶ ἰαμβρῆς ἀντέστησαν μωϋσεῖ οὕτως καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν ἀδόκιμοι περὶ τὴν πίστιν ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν ὡς καὶ ἡ ἐκείνων ἐγένετο σὺ δὲ παρηκολούθησάς μου τῇ διδασκαλίᾳ τῇ ἀγωγῇ τῇ προθέσει τῇ πίστει τῇ μακροθυμίᾳ τῇ ἀγάπῃ τῇ ὑπομονῇ τοῖς διωγμοῖς τοῖς παθήμασιν οἷά μοι ἐγένετο ἐν ἀντιοχείᾳ ἐν ἰκονίῳ ἐν λύστροις οἵους διωγμοὺς ὑπήνεγκα καὶ ἐκ πάντων με ἐρρύσατο ὁ κ̄ς καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν χ̄ῳ̄ ἰ̄ῡ̄ διωχθήσονται πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον πλανῶντες καὶ πλανώμενοι σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης εἰδὼς παρὰ τίνων ἔμαθες καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν χ̄ῳ̄ ἰ̄ῡ̄ πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν πρὸς ἔλεγχον πρὸς ἐπανόρθωσιν πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ ἵνα ἄρτιος ᾖ ὁ τοῦ θ̄ῡ ἄνθρωπος πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος διαμαρτύρομαι οὖν ἐνώπιον θ̄ῡ καὶ χ̄ῡ ἰ̄ῡ̄ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ κήρυξον τὸν λόγον ἐπίστηθι εὐκαίρως ἀκαίρως ἔλεγξον ἐπιτίμησον παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται ἀλλὰ κατὰ τὰς ἐπιθυμίας ἑαυτῶν ἐπισωρεύσουσιν ἑαυτοῖς διδασκάλους κνηθόμενοι τὴν ἀκοήν καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται σὺ δὲ νῆφε ἐν πᾶσιν κακοπάθησον ἔργον ποίησον εὐαγγελιστοῦ τὴν διακονίαν σου πεπλήρωσον ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκεν τὸν καλὸν ἀγῶνα ἠγώνισμαι τὸν δρόμον τετέλεκα τὴν πίστιν τετήρηκα λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος ὃν ἀποδώσει μοι ὁ κ̄ς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής οὐ μόνον δὲ ἐμοὶ ἀλλὰ καὶ πᾶσιν τοῖς ἠγαπηκόσιν τὴν ἐπιφάνειαν αὐτοῦ σπούδασον ἐλθεῖν πρός με ταχέως δημᾶς γὰρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰῶνα καὶ ἐπορεύθη εἰς θεσσαλονίκην κρήσκης εἰς γαλατίαν τίτος εἰς δαλματίαν λουκᾶς ἐστιν μόνος μετ' ἐμοῦ μᾶρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ ἔστιν γὰρ μοι εὔχρηστος εἰς διακονίαν τύχικον δὲ ἀπέστειλα εἰς ἔφεσον τὸν φαιλόνην ὃν ἀπέλιπον ἐν τρῳάδι παρὰ κάρπῳ ἐρχόμενος φέρε καὶ τὰ βιβλία μάλιστα τὰς μεμβράνας ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο ἀποδώσει αὐτῷ ὁ κ̄ς κατὰ τὰ ἔργα αὐτοῦ ὃν καὶ σὺ φυλάσσου λίαν γὰρ ἀντέστη τοῖς ἡμετέροις λόγοις ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι παρεγένετο ἀλλὰ πάντες με ἐγκατέλιπον μὴ αὐτοῖς λογισθείη ὁ δὲ κ̄ς μοι παρέστη καὶ ἐνεδυνάμωσέν με ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσωσιν πάντα τὰ ἔθνη καὶ ἐρρύσθην ἐκ στόματος λέοντος ῥύσεται με ὁ κ̄ς ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ἄσπασαι πρίσκαν καὶ ἀκύλαν καὶ τὸν τοῦ ὀνησιφόρου οἶκον ἔραστος ἔμεινεν ἐν κορίνθῳ τρόφιμον δὲ ἀπέλιπον ἐν μιλήτῳ ἀσθενοῦντα σπούδασον πρὸ χειμῶνος ἐλθεῖν εὔβουλος σε καὶ πούδης καὶ λίνος καὶ κλαυδία καὶ οἱ ἀδελφοὶ πάντες ὁ κ̄ς μετὰ τοῦ πνεύματός σου ἡ χάρις μεθ' ὑμῶν ἀμήν





